(β) Περιεργείας χάριν παρατιθέμεθα ἐνταῦθα ἔκθεσίν τινα Νείλου τοῦ Δοξαπατρῆ περὶ τῆς ἐκτάσεως τῆς δικαιοδοσίας

§. 13. Ἀλλὰ καὶ αὐτὴ ἡ διαφωνία τῶν εἰρημένων νομοθῶν περὶ τὴν ἑρμηνείαν τοῦ κή. κανόνος, οὐδόλως ἐξασθενεῖ τὴν ἐπὶ τῆς Βουλγαρίας, τοὐλάχιστον, πνευματικὴν δικαιοδοσίαν τοῦ Κωνσαντινουπόλεως. Οἱ μὲν γὰρ Ζωναρᾶς καὶ Ἀριστηνὸς, εἰ καὶ περιορίζουσιν ἐσφαλμένως, ὡς προαποδέδεικται, τὴν ἔννοιαν τοῦ κανόνος γνωματεύοντες, ὅτι οὗτος οὐκ ἀποδίδωσι τὰς χειροτονίας τῶν

τοῦ Κωνσταντινουπόλεως καὶ τῶν μεταβολῶν αὐτῆς, ἀπὸ τῆς Δ'. Οἰκουμενικῆς Συνόδου καὶ ἐφεξῆς, ἀναγινωσκομένην παρὰ τῷ Ἀλλατίῳ. « Ζητητέον δὲ καὶ περὶ τῶν ἐπαρχιῶν τῶν πόλεων τῶν ὑποτεθεισῶν τῷ θρόνῳ τῆς Κωνσαντινουπόλεως, καὶ πῶς ὑπετέθησαν. Πρῶτον μὲν ἀπεσπάσθησαν οἱ ἐν τῇ Δ'. Συνόδῳ μνημονευόμενοι Μητροπολῖται καὶ Ἐπίσκοποι . . . . δύο γὰρ ἔξαρχοι τῆς Ἀνατολικῆς διοικήσεως οἱ προέχοντες τῶν ἄλλων Μητροπολιτῶν. . . . ὑπέκυψαν αὐτίκα σὺν τοῖς ὑπ' αὐτοὺς Μητροπολίταις τῷ Κωνσταντινουπόλεως, ἤτοι ὁ Καισαρείας Καππαδοκείας, καὶ ὁ Ἐφέσου τῆς Ἀσίας. . . . Πάλιν ἀπὸ τῆς δυτικῆς διοικήσεως δύο ἔξαρχοι ὁμοίως ὑπέκυψαν τότε τῷ Κωνσταντινουπόλεως προέχοντες τῶν λοιπῶν Μητροπολιτῶν τῶν ὑπὸ τὴν αὐτῶν διοίκησιν, ὁ *Θεσσαλονίκης καὶ ὁ Κορίνθου, καὶ ἠκολούθησαν τούτοις καὶ οἱ ὑπ' αὐτοὺς Μητροπολῖται καὶ Ἀρχιεπίσκοποι.* . . . . ἀλλὰ καὶ ἡ Σικελία μετὰ ταῦτα καὶ ἡ Καλαβρία γέγονε ὑπὸ τὸν Κωνσταντινουπόλεως, καὶ ἡ ἁγία Σεβιρίννη ἡ καὶ Νικόπολις καλουμένη . . . Προσετέθησαν δὲ καὶ ὁ τῆς Σικελίας θρόνος καὶ ὁ τῆς Καλαβρίας καὶ ὁ τῆς ἁγίας Σεβιρίνης τῷ Κωνσταντινουπόλεως ἀποσπασθέντες τῆς Ῥώμης, *ὅτε βάρβαροι κατέσχον τὸν Πάπαν, καὶ τὴν Ῥώμην ᾐχμαλώτισαν καὶ ἰδεοποιήσαντο*, ὥσπερ καὶ ἡ Κρήτη ὑπὸ τὴν Ῥώμην οὖσα ὑπὸ τὸν Κωνσαντινουπόλεως γέγονε· πλὴν πρὸ τούτων ὁ Πάπας εὑρίσκεται κατέχων μέρη τινα εὐτελῆ καὶ ἐπισκοπὰς ἐκ μέρους τινὰς ἐν Σικελίᾳ καὶ Καλαβρίᾳ. Τὰς γὰρ Μητροπόλεις καὶ τοὺς ἐν αὐταῖς ἐξ ὁλοκλήρου κατεῖχεν ὁ Κωνσταντινουπόλεως *μέχρι τῆς τῶν Φράγκων ἐλεύσεως*· ἀλλὰ καὶ ἐν τῇ Λογγοβαρδίᾳ, τῇ Ἀπουλίᾳ καὶ πάσαις ταῖς ἐκεῖ χώραις, τὰς μὲν παραλίας πόλεις εὑρίσκεται πρώην κατέχων ὁ Κων-

Ἐπισκόπων Μακεδονίας, Θετταλίας, Ἀττικῆς, Πελοποννήσου, Ἠπείρου καὶ Ἰλλυριῶν τῷ Κωνσταντινουπόλεως, καὶ ἑπομένως ὅτι καὶ μετὰ τὴν Δ΄. Σύνοδον ἡ ἐκκλησιαστικὴ διακυβέρνησις τῶν χωρῶν τούτων ἀνῆκεν εἰς τὸν Ῥώμης, ἐνῷ ὁ Βαλσαμὼν ἐναντίαν ἀποφαίνεται γνώμην πλατυτέραν ἀποδίδων ἔννοιαν εἰς τὸν κανόνα (καὶ συμ-

σταντινουπόλεως, τὰς δὲ λοιπὰς ὁ Ῥώμης, ὡς καὶ ταύτας τὰς χώρας οἱ δύο ἀνὰ μέρος κρατεῖν· αὐτίκα γὰρ ὁ μελῳδὸς καὶ ποιητὴς κύριος Μάρκος εὑρίσκεται ἐν Ἰδροῦντι σταλεὶς Μητροπολίτης παρὰ τοῦ Κωνσαντινουπόλεως· *ἐπεὶ γὰρ τὸ δουκάτον πάσης Λογγοβαρδίας, τῆς παλαιᾶς Ἑλλάδος οὔσης, ἦν ὑπὸ τὸν βασιλέα Κωνσταντινουπόλεως, ὁ δὲ Πάπας κεχωρισμένος ἦν καὶ ὑπὸ ἕτερα ἔθνη δῆθεν* (τοὐτέστιν ὑπὸ ἑτέραν πολιτικὴν ἀρχὴν), *διὰ τοῦτο καὶ ὁ Πατριάρχης εἶχε τας Ἐκκλησίας . . . μεθ' ὃ δὲ οἱ Φράγκοι ἀφείλοντο τὸ τοιοῦτον δουκάτον, τότε ὁ Ῥώμης ἐχειροτόνησεν ἐν πάσαις ταῖς τοιαύταις ἐκκλησίαις ὅσην γὰρ χώραν κατεῖχεν ὁ βασιλεὺς Κωνσταντινουπόλεως, ἢ καὶ μετὰ ταῦτα ἀπὸ ἐθνῶν διαφόρων ἐξεύρηκεν, εἰκότως καὶ ὁ Πατριάρχης Κωνσταντινουπόλεως ἐχειροτόνει ἐκεῖ . . . .* (αὐτὸ τοῦτο συνέβη καὶ ἐν τῇ Ἀνατολικῇ Ἰλλυρίᾳ μετὰ τὴν προσάρτησιν αὐτῆς τῷ Ἀνατολικῷ βασιλείῳ ὅρ. §. 2)· νῦν οὖν κατέχει ὁ Θεοφρούρητος Θρόνος τῆς Κωνσταντινουπόλεως . . . . οὐκ ὀλίγον τῆς Εὐρώπης καὶ τῆς Ἀσίας· τὰ ἀπὸ τοῦ Ἀδριατικοῦ πελάγους, τὰ ἀπὸ τοῦ Ἰλλυρικοῦ ἕως τῆς Προποντίδος, ὅπου ἡ Κωνσταντινούπολις, ἄχρι Χερσῶνος, καὶ Χαζαρίας, καὶ Γοτθίας, καὶ Χαλδείας, Ἀβασγίας, καὶ Ἰβηρίας, καὶ Ἀλανίας. . . ἀλλὰ *καὶ αἱ* ΠΑΡΙΣΤΡΙΟΙ ΠΟΛΕΙΣ *αὐτῷ ὑπόκεινται, ἤτοι αἱ τοῦ Δανουβίου ποταμοῦ.* Καὶ αἱ τῆς Καππαδοκίας πόλεις, καὶ μέρη τῆς Ἀρμενίας, καὶ αἱ Κυκλάδες νῆσοι καὶ αἱ λοιπαὶ ἅπασαι αἱ ὑπὸ τὴν βασιλείαν Κωνσαντινουπόλεως πολλαί τινες οὖσαι, καὶ αἱ μέγισται δύο νῆσοι ἡ Κρήτη καὶ Εὔβοια, ὅπου ὁ Εὔριπος· ἀλλὰ καὶ ἡ Πελοπόννησος καὶ ἡ Ἑλλάς . . . . ἀλλὰ καὶ εἰς τὴν Μεγάλην Ῥωσσίαν ἀπὸ τοῦ Πατριάρχου Κωνσταντινουπόλεως στέλλεται Μητροπολίτης » (Des cons. Eccl. Lib. I, c. XXIV).

φωνοτέραν πρὸς τὰς προεκτεθειμένας γεωγραφικὰς εἰδήσεις καὶ πρὸς τὸ περὶ ἐκτάσεως τῆς δικαιοδοσίας τοῦ Κωνσταντινουπόλεως φρόνημα τῆς πολιτικῆς ἀρχῆς, ὅπερ ἐκδηλοῦται ἀναντιρρήτως ἐν τῷ θεσπίσματι τοῦ Ἰουστινιανοῦ καὶ τῆς πρὸς Ἐπιφάνιον ἐπιστολῆς τοῦ αὐτοῦ), ἀλλ' ὅμως κατά γε τοῦτο φαίνονται συμφωνοῦντες πρὸς τὸν Βαλσαμῶνα (ὅπερ δι' ἡμᾶς ἐστι τὸ οὐσιωδέστατον), ὅτι ἐπίσης ἀποκλείουσι τὴν Μοισίαν ἀπὸ τῆς πνευματικῆς δικαιοδοσίας τοῦ Ῥώμης, οὐδόλως αὐτῆς μνημονεύοντες ἐν τῇ ἀπαριθμήσει τῶν χωρῶν, ἃς αὐτῷ ἀποδίδουσιν, ἅτε δὴ ἐννοοῦντες αὐτὴν συμπεριειλημμένην ἐν τῇ περιοχῇ τῆς Θρᾳκικῆς. Κἂν λοιπὸν ὑποθῶμεν πάσας τὰς μέχρι τοῦ Δυῤῥαχίου Μητροπόλεις τοῦ Ἰλλυρικοῦ περιεχομένας συλλήβδην ἐν τῇ λέξει Θρᾳκικῇ τοῦ κανόνος, κατὰ τὴν πλατυτέραν καὶ πολιτικωτέραν ἔννοιαν τοῦ Βαλσαμῶνος (α), κἂν τε ἐκλάβωμεν τὴν Θρᾳκικὴν εἰς γενοτέραν ἔννοιαν, κατὰ τοὺς ὁρισμοὺς τῶν ἀρχαίων ἱστορικῶν καὶ γεωγράφων Ἡροδότου, Θουκυδίδου, Σκύλακος, Μέλαντος, Πλινίου, Στράβωνος, Στεφάνου Βυζαντίου καὶ Ζωσίμου, καὶ οὕτως ἡ « Θρᾳκικὴ Σκυθία, » ἡ « Scythia cisdanubiana, » ἡ « Κελτοσκυθία, » ἡ Μοισία, ἡ Βουλγαρία οὐδόλως ἐκφεύξεται τῆς πνευματικῆς ἐξουσίας τοῦ Πατριαρχικοῦ τῆς Κωνσταντινουπόλεως θρόνου. Δικαίως ἄρα, πάλιν λέγω, ὁ ἡμέτερος Φώτιος ἀπέῤῥιψεν (ὥσπερ καὶ ὁ ἱερὸς Ἰγνάτιος) τὰς ἀξιώσεις τῶν Παπῶν Νικολάου τοῦ Α΄, Ἀδριανοῦ τοῦ Β΄. καὶ Ἰωάννου τοῦ Η΄. ἀνακηρύττων εὐσχημόνως ἐν μέσῳ τριακοσίων ὀγδοήκοντα καὶ ἑπτὰ Πατέρων, ὅτι ἡ Βουλ-

(α) Ὅρα σελ. 11, σημ. 6΄.

γαρία μετὰ καὶ τῶν ἄλλων θρόνων τοῦ Ἰλλυρικοῦ ἀνῆκε κανονικῶς τῷ θρόνῳ τῆς Νέας Ῥώμης.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Ὅτι ἡ ἐν Βουλγαρίᾳ ὀρθόδοξος Ἐκκλησία οὐδέποτε ἀνεγνωρίσθη αὐτοκέφαλος καὶ αὐτοκυβέρνητος παρὰ τῆς Καθόλου Ἐκκλησίας.

§. 14. Ἅπασα ἡ ἱστορία τῆς διενέξεως τῆς Ἀνατολικῆς καὶ τῆς Δυτικῆς Ἐκκλησίας, περὶ τοῦ τίνι προσήκει κανονικῶς ἡ διακυβέρνησις τῆς Βουλγαρίας, κηρύττει τρανῶς ὅτι οὐδέποτε ἀνεγνωρίσθη αὕτη ἐκκλησιαστικῶς ἀνεξάρτητος καὶ αὐτόνομος (α). Ἐν ἔτει 864 ἐπὶ

(α) Πρὸς διασάφισιν τῶν ἐν τοῖς ἑξῆς κεφαλαίοις ῥηθησομένων, ἀναγκαῖον ἡγοῦμαι προτάξασθαί τινα περὶ τοῦ ἔθνους τῶν Βουλγάρων ἱστορικώτερον. Οἱ Βούλγαροι, ἔθνος τῆς Ἀσιατικῆς Σαρματίας, οἰκοῦντες παρὰ τὸν Βόλγαν ποταμὸν (κατὰ Νικηφόρον τὸν Γρηγορᾶν καὶ ἄλλους ἱστορικοὺς ἀρχαίους τε καὶ νεωτέρους), ἐξ οὗ καὶ τὴν ἐπωνυμίαν ἔσχον (καὶ νῦν ἤδη πέραν τοῦ Βόλγα ὑπάρχει πόλις *Βουλγαρία ἡ Βουλγὰρ*, πρωτεύουσα ὁμωνύμου χώρας, κατὰ τὸν Μελέτιον· ὅρ. γεωγραφ. σελ. 221. Ὅτι δὲ οἱ Βούλγαροι οὐκ εἰσὶν ἔθνος Σλαβικὸν ἀλλὰ Σαρματικόν, ὅρ. καὶ Hist. Eccless. par Jean Alzog. T. II. p. 254), κατὰ τὸ 489 ἐπὶ τοῦ Αὐτοκράτορος Ἀναστασίου τοῦ Α΄. ἐπεσκέφθησαν λῃστρικῶς τὴν Θρᾴκην, καὶ κατὰ τῆς αὐτῆς χώρας ἐπανέλαβον τὰς ἐπιδρομὰς αὐτῶν κατὰ τὸ 501. Ἐφεξῆς δὲ ἑνωθέντες μετὰ τῶν Ἀβάρων καὶ Σλαβώνων συγκατῴκησαν εἰς Παιονίαν καὶ Δακίαν ὑποτασσόμενοι ἐκείνοις. Ἐν ἔτει δὲ 538,

τοῦ Αὐτοκράτορος Μιχαὴλ τοῦ Γ΄. (βασιλεύσαντος ἀπὸ τοῦ 842—867) καὶ Φωτίου Πατριάρχου οἱ Βούλγαροι ἠσπάσαντο τὸν χριστιανισμόν. Τὸ γεγονὸς τοῦτο παρέσχεν ἀφορμὴν διενέξεως εἰς τοὺς Πρωθιεράρχας τῆς Πρεσβυτέρας καὶ Νέας Ῥώμης· ἑκάτεροι ἀντεποιοῦντο

ἐπὶ τῆς βασιλείας τοῦ Ἰουστινιανοῦ, ἐπιδραμόντες μετὰ τῶν Ἀβάρων τὴν Μοισίαν καὶ λεηλατήσαντες αὐτὴν, ἀπεδιώχθησαν παρὰ τῶν Βυζαντινῶν δυνάμεων· κατὰ δὲ τὸ 597 ἐπανῆλθον εἰς Μοισίαν καὶ ἄλλας χώρας Βυζαντινάς· ἀκολούθως διώξαντες τοὺς Ἀβάρους ἐκ τῆς Παιονίας καὶ Δακίας καὶ γενόμενοι κύριοι τῶν χωρῶν τούτων, ἐξελέξαντο βασιλέα αὐτῶν Κουβράντον τινά· ἀποθανόντος δὲ τοῦ Κουβράντου διεσκορπίσθησαν εἰς διάφορα τῆς Εὐρώπης μέρη ὑπὸ τὴν ἀρχηγίαν τῶν πέντε υἱῶν αὐτοῦ. Μετὰ ταῦτα κατὰ τὸ 679 ἐκυρίευσαν τὴν Βάρνην, καὶ καθιδρυθέντες ἔκτοτε ἐν τῇ Μοισίᾳ, μετωνόμασαν αὐτὴν Βουλγαρίαν, ἔδραν τῶν κατακτήσεων αὐτῶν καταζήσαντες τὸ Τόρναβον· ἐκ τῆς τοιαύτης δὲ γειτνιάσεως τοῦ ἔθνους τούτου πολλὰ καὶ μεγάλα δεινὰ ὑφίσαντο κατὰ καιροὺς, ὡς ἦν εἰκὸς, αἱ Βυζαντιναὶ ἐπαρχίαι καὶ ἰδίως ἡ Θρᾴκη. Περὶ δὲ τὸ 864 ὁ ἄρχων αὐτῶν Βόγορις, βασιλεύοντος Μιχαὴλ τοῦ Γ΄. υἱοῦ Θεοφίλου, ἔλαβε τὸ ἅγιον βάπτισμα ἐν τῇ ἱερᾷ κολυμβήθρᾳ τῶν Βλαχερνῶν ὑπὸ χειρῶν τοῦ φερωνύμου Φωτίου, μετονομασθεὶς Μιχαήλ. (Καὶ προώριστο ἄρα ἵνα ἐκ τοῦ Πατριαρχικοῦ τῆς Κωνσταντινουπόλεως θρόνου ἐπιλάμψῃ τὸ φῶς τοῦ Εὐαγγελίου καὶ εἰς τὸ γένος τῶν Βουλγάρων, ὃν ἤδη οὕτως ἀεικῶς τινες ἀπολακτίζουσι, διαβάλλοντες εἰς τὸ φιλόχριστον καὶ εὐσεβὲς Βουλγαρικὸν γένος τὸν θρόνον ἐκεῖνον, ὅστις μετὰ τοῦ φωτὸς τῆς ὀρθοδοξίας δέδωκεν αὐτῷ τὰ πρῶτα σπέρματα τοῦ πολιτισμοῦ, καὶ αὐτὰ προσέτι τὰ στοιχεῖα τοῦ Ἀλφαβήτου!). Ἀλλὰ καὶ εἰς τοὺς μετὰ ταῦτα χρόνους οὐ διέλιπον εἰσβάλλοντες εἰς τὰς ἐπαρχίας τῆς Βυζαντινῆς Αὐτοκρατορίας, καὶ διὰ πυρὸς καὶ σιδήρου καταστρέφοντες πόλεις καὶ ἐξανδραποδίζοντες, καὶ ἰδίως ἐπὶ τοῦ Κράλη αὐτῶν Συμεὼν τῷ 888. Κατὰ δὲ τὸ 972 καταβαλὼν αὐτοὺς μέχρις Ἀδριανουπόλεως προελάσαντας ὁ περιώνυμος Ἰωάννης ὁ Τζιμισκῆς, κατέ-

τῆς Βουλγαρίας, οἱ μὲν ὡς ἀνηκούσης εἰς τὴν ὑπ' αὐτοὺς τελοῦσαν ποτὲ ὑπαρχίαν τῆς Ἰλλυρίας· οἱ δὲ ἀντεποιοῦντο αὐτῆς διὰ πολιτικοὺς καὶ κανονικοὺς ἅμα λόγους (α) τὸ μέν, δηλονότι, ὡς ἀπαρτιζούσης ἀπὸ τῶν

στησε τὴν χώραν αὐτῶν ἐπαρχίαν τοῦ Κράτους, ἣν διαιρέσας εἰς τμήματα, προέχησεν αὐτῶν *Βοεβόδας*, ἤτοι ἰθαγενεῖς διοικητάς, πάνυ ἐπιεικῶς καὶ φιλανθρώπως προσαγόμενος· οἵτινες ἐπὶ Βασιλείου τοῦ Β'. ἐπαναστάντες πρὸς ἀνάκτησιν τῆς ἑαυτῶν ἀνεξαρτησίας, καὶ προστησάμενοι ἡγεμόνα τὸν ἀκάθεκτον Σαμουὴλ, κατέκτησαν τὸ πλεῖστον τῆς Μακεδονίας, τὸ Δυρράχιον, τὴν Ἀχρίδα, (ἔνθα ἔστησε τὴν ἕδραν αὐτοῦ ὁ Σαμουὴλ), τὰ Πρέσπα, καὶ πολλὰ μέρη τῆς Ἠπείρου καὶ Θεσσαλίας, ἐν οἷς καὶ τὴν Λάρισσαν, ἐπεκτείναντες τὰς ἐπιδρομὰς αὐτῶν μέχρις ἐντὸς τῆς Πελοποννήσου. Ἀλλ' ὁ Βασίλειος, καταβαλὼν πρῶτον τοὺς ἐμφυλίους ἀντιπάλους, καὶ ἀπαλλαγεὶς ἀπ' αὐτῶν, ἐπεχείρησεν ἔπειτα πρὸς τοὺς Βουλγάρους πόλεμον μακρότατον, τριακονταετίαν ὅλην διαρκέσαντα· τὸ δὲ **1018** κατώρθωσεν ὁλοσχερῶς τὴν χείρωσιν τῆς ἀναστάτου καὶ ἐρημωθείσης αὐτῶν χώρας· ἐπὶ δὲ Ἰσαακίου τοῦ Β'. τῷ **1186** τὰ παρὰ τὸν Αἷμον Βλαχικὰ καὶ Βουλγαρικὰ φῦλα, ἐπαναστάντα ὑπὸ τὴν ἀρχηγίαν Πέτρου καὶ Ἀζὰν τὸ γένος Βλάχων, συνέχησαν τὸ λεγόμενον *Βλαχοβουλγαρικὸν* Κράτος, περιλαμβάνοντα ὅρια τῆς σημερινῆς Βουλγαρίας (Βλ. ἱστορ. ἄτλαντα τοῦ **Houzé**), ὅπερ κατὰ τὸ **1388** συνεχωνεύθη μετὰ τοῦ Ὀσμανικοῦ, κατατροπωθέντος τοῦ Κράλη αὐτῶν Σισμάνου ὑπὸ τοῦ Σουλτὰν Μουρὰτ τοῦ Α'. ὅτι δὲ οἱ ἤδη λεγόμενοι Βούλγαροι οὐκ εἰσὶν ἀπόγονοι τῶν ἀρχαίων ἐκείνων Βουλγάρων, ἀλλὰ σύμφυλοι καὶ ὁμαίμονες ἡμῶν, ἐν τῷ οἰκείῳ τόπῳ ῥηθήσεται.

(α) Τοὺς πολιτικοὺς καὶ κανονικοὺς τούτους λόγους ὑπεδήλου πάντως ὁ Μ. Φώτιος ἐν τῇ πρὸς Νικολ. τὸν Α'. ἐπις. καὶ ταῖς πρὸς τοὺς ληγάτους Ἰωάννου τοῦ Η'. προσδιαλέξεσιν αὐτοῦ διὰ τῶν φράσεων ἐκείνων « *εἰ τὸ τῆς ἐμῆς ἐν Κυρίῳ ἀγάπης πλάτος μὴ ταῖς βασιλικαῖς ἐστεροχωρεῖτο ἀράγκαις* », καὶ « *εἰ μὴ συνεμεμέριστο τὸ ἔργον τῇ βασιλείᾳ* », καὶ « *εἰ μή τις ἄλλη με καιρικὴ ἀνεχαίτιζε δίκη* » κτλ. Περὶ ὧν λέγομεν ἐφεξῆς.

χρόνων τοῦ Γρατιανοῦ μέρος τῆς Βυζαντινῆς Αὐτοκρατορίας, καὶ ἑπομένως νόμῳ πολιτικῷ περιλαμβανομένης ἐν τῇ ἐνορίᾳ τοῦ Οἰκουμενικοῦ θρόνου (κατὰ τὸ γνωστὸν ἐκεῖνο ἀξίωμα· « τὰ ἐκκλησιαστικὰ καὶ μάλιστα τὰ περὶ τῶν ἐνοριῶν δίκαια, ταῖς πολιτικαῖς ἐπικρατείαις τε καὶ διοικήσεσι συμμεταβάλλεσθαι εἴωθεν »)· τὸ δὲ, διὰ τὸν λδ'. Ἀποστολικὸν, τὸν θ'. τῆς ἐν Ἀντιοχείᾳ, τοῦ κή. τῆς ἐν Χαλκηδόνι κτλ.

§. 15. Ἐν ἔτει 783 ὁ Πάπας Ἀδριανὸς ὁ Α', προσκαλούμενος παρὰ τοῦ Αὐτοκράτορος Κωνσταντίνου καὶ τῆς μητρὸς αὐτοῦ Εἰρήνης εἰς τὴν ἣν ἔμελλον συγκροτῆσαι Ζ'. Οἰκουμενικὴν Σύνοδον, ἔγραφεν ἐν τῇ ἀπαντήσει αὐτοῦ πρὸς τοῖς ἄλλοις καὶ ταῦτα· « ἔτι καὶ τοῦτο αἰτοῦμεν παρὰ τῆς Ὑμετέρας Θεοστέπτου εὐσεβεστάτης βασιλείας, ἵνα ... ἀξιώσητε ἐντελῶς ἡμῖν ἀποκαταστῆναι, ὡς τὸ ἀπ' ἀρχῆς, τὰ παρ' ὀρθοδόξων Αὐτοκρατόρων ἢ παρὰ τῶν λοιπῶν πιστῶν χριστιανῶν προσενεχθέντα καὶ παραχωρηθέντα πατριμόνια τοῦ μακαρίου Πέτρου ... Οὐ μὴν δὲ, ἀλλὰ ἀποκατασταθήτωσαν ἐντελῶς κατὰ τοὺς κανόνας καὶ τὴν ἀρχαίαν παράδοσιν τῇ ἡμετέρᾳ Ἐκκλησίᾳ καὶ αἱ ... τῆς ἡμετέρας διοικήσεως ὑπάρχουσαι (α) Ἐπισκόπων ἤτοι Ἀρχιεπιτκόπων χειροτονίαι » (β).

§. 16. Ἐν ἔτει 860 ἀφικνοῦνται εἰς Κωνσταντινούπολιν ληγάτοι Νικολάου τοῦ Α'. κομίζοντες ἐπιστολὰς

(α) Τίνας δὲ ἐπαρχίας ἐννοεῖ διὰ τοῦ *ἡμετέρας διοικήσεως* ἐξηγήσει ἡμῖν παραυτίκα ὁ διάδοχος αὐτοῦ Νικόλαος.

(β) « Consecrationes Episcoporum sive Archiepiscoporum sicut olitana constat traditio, nostrae Diocesis existentes, penitus *canonice* nostræ restituantur Ecclesiæ ».

πρός τε τὸν Φώτιον καὶ τὸν Αὐτοκράτορα Μιχαὴλ, δι' ὧν ὁ ῥηθεὶς Πάπας ἀπήτει, ἵνα ἐπιστραφῶσιν αὐτῷ αἱ ὑπὸ τὸν Θεσσαλονίκης Ἀρχιεπίσκοπον, ὡς βικάριον δηθεν αὐτοῦ, τελοῦσαι ἐπαρχίαι τῆς Ἰλλυρίας· « δεῖ, ἔλεγε, τὴν ὑμετέραν Αὐτοκρατορικὴν εὐπρέπειαν ἀξιῶσαι, ἵνα, ὅπερ εἶχεν ἡ ἡμετέρα Ἐκκλησία ἀρχαῖον ἔθος, ἀποκατασταθῇ ἐπὶ τῶν ὑμετέρων χρόνων· καθ' ὅσον οὐδεὶς ἂν τολμήσειε καταστῆσαι ἀμφίβολον τῷ μακαρίῳ Πέτρῳ, τῷ τῶν Ἀποστόλων κορυφαίῳ, τὸ μέρος, ὅπερ εἶχεν ὁ ἡμέτερος θρόνος διὰ τῶν ἐν τοῖς ὑμετέροις τόποις καθισταμένων Ἐπισκόπων, δηλαδὴ τοῦ Θεσσαλονίκης, τοῦ ἐνεργοῦντος ἀντὶ τοῦ θρόνου τῆς Ῥώμης, κατὰ τὴν ἀρχαίαν Ἤπειρον, τὴν νέαν Ἤπειρον καὶ τὸ Ἰλλυρικὸν, τὴν Μακεδονίαν, τὴν Θεσσαλίαν, τὴν Ἀχαΐαν (Ἑλλάδα), Ῥιπενσίαν Δακίαν, τὴν Μεδιτερράνεαν Δακίαν, τὴν Μοισίαν (πρώτην καὶ δευτέραν), τὴν Δαρδανίαν καὶ τὴν Πραιβάλην (α), αἵτινες ἐπὶ τῶν χρόνων τῶν ἡμετέρων προκατόχων ἐκυβερνῶντο ταῖς ἱεραῖς διατάξεσι

(α) Σημείωσαι ὅτι τινὲς ἐκ τῶν ζητουμένων ἐπαρχιῶν καὶ τελοῦσαι ὑπὸ τὸν Κωνσταντινουπόλεως Πατριάρχην, ἤτοι αἱ τῶν δύο Δακιῶν, Μοισίας, Δαρδανίας καὶ Πραιβάλης, ἦσαν δεδωρημέναι τῇ Ἀρχιεπισκοπικῇ Ἀχριδῶν διὰ θεσπίσματος τοῦ Ἰουστινιανοῦ πρὸ τριῶν καὶ ἐπέκεινα αἰώνων. Πῶς οὖν περιῆλθον ἀκολούθως ὑπὸ τὸν Κωνσταντινουπόλεως; ἐν τίνι δικαιώματι ἐζήτει αὐτὰς ὁ Νικόλαος καὶ οἱ λοιποὶ τῶν Παπῶν ὡς ἐπαρχίας *ὑποκειμένας* τῷ Ῥωμαϊκῷ θρόνῳ; τί ἐγένετο τὸ αὐτοκέφαλον τῆς Ἀχριδινῆς Ἐκκλησίας; Πῶς ἐν ὅλῃ τῇ μακρᾷ περὶ τῶν θρόνων τῆς Ἀνατολικῆς Ἰλλυρίας καὶ ἰδίως τῆς Βουλγαρίας διενέξει τῶν δύο ἐκκλησιῶν οὐδεμία ἐγένετο περὶ τούτου μνεία; Πῶς οὐδεμία φωνὴ διαμαρτυρήσεως ὑψώθη κατὰ τῶν ἑκατέρωθεν ἀξιώσεων; Τὰ ζητήματα ταῦτα λύονται ἐν τῷ ἑξῆς κεφαλαίῳ.

τῶν ἁγίων Ἀρχιερέων, τοῦ Δαμάσου, τοῦ Σιρικίου, τοῦ Ἰννοκεντίου, τοῦ Καιλεστίνου, τοῦ Σίξτου, τοῦ Λέοντος, τοῦ Ἱλάρου, τοῦ Σιμπλικίου, τοῦ Φήλικος καὶ τοῦ Ὁρμίσδου· ἔτι δὲ ἀποδοθῆναι δεῖ παρ' ὑμῶν παραχωρούμενα καὶ τὰ ἐν Καλαβρίᾳ καὶ Σικελίᾳ πατριμόνια » (Ep. II ad Mich. imper.). Αὐτὰ ταῦτα ἔγραφε καὶ πρὸς τὸν Φώτιον, ὅστις ἐν τῇ ἀποκριτικῇ αὐτοῦ ἔλεγε· « Περὶ δέ γε τῶν τὰς χειροτονίας αὐτόθεν πάλαι λαμβανόντων ἐκοινολογήσαντο ἡμῖν οἱ τῆς ὑμῶν ὁσιότητος τοποτηρηταί, ὡς χρεὼν εἴη τούτους ἐπαναστραφῆναι καὶ πρὸς τὴν οἰκείαν παλινδρομῆσαι προμήτορα. Ἀλλ' εἰ μὲν ἐν ἡμῖν τὸ τοῦ βουλεύματος κῦρος ἔκειτο, καὶ μὴ συνεμεμέριστο τῇ βασιλείᾳ ἡ πρᾶξις, οὐκ ἂν ἀπολογίας ἔδει· αὐτὸ δὲ τὸ ἔργον κρεῖττον ὂν τῆς ἀπολογίας ἐδείκνυτο· ἐπεὶ δὲ τὰ ἐκκλησιαστικὰ, καὶ μάλιστα τὰ περὶ ἐνοριῶν δίκαια, ταῖς πολιτικαῖς ἐπικρατείαις τε καὶ διοικήσεσι συμμεταβάλλεσθαι εἴωθεν, ἡ τῆς ὑμῶν ὁσιότητος εὐγνωμοσύνη τὸ ἡμῶν ἐπὶ τὸ συνευδοκεῖν εἰς τὸ παρασχεῖν ἀποδεχομένη θέλημα, τὸ μὴ λαβεῖν τῆς πολιτικῆς, ἀλλ' οὐχ ἡμέτερον λογιζέσθω ἔγκλημα ».

§. 17. Ἐν ἔτει 867 Βασίλειος ὁ Μακεδὼν καταβιβάζει τὸν Φώτιον ἀπὸ τοῦ Πατριαρχικοῦ θρόνου, καὶ ἀναβιβάζει τὸν Ἰγνάτιον· τοῦτο μαθὼν ὁ διαδεξάμενος τὸν Νικόλαον Ἀδριανὸς ὁ Β'. γράφει σπουδῇ πρὸς αὐτὸν καὶ ζητεῖ τὴν ἀπόδοσιν τῆς Βουλγαρίας, εὐελπιζόμενος εἰς τὸ εὐπτόητον καὶ ἁπλοϊκὸν τοῦ ἤθους τοῦ Ἰγνατίου· ἀλλ' οὐχ ἧττον μετὰ τῆς αὐτῆς εὐσταθείας ἀπέκρουσε καὶ ὁ ἱερὸς ἐκεῖνος ἀνὴρ τὰς ἀξιώσεις τοῦ Ἀδριανοῦ.

§. 18. Ἐν ἔτει 879, ἐπὶ τῆς Β'. πατριαρχείας τοῦ Φωτίου, συνεκροτήθη ἐν Κωνσταντινουπόλει, ἐν τῷ μεγαλωνύμῳ ναῷ τῆς ἁγίας Σοφίας, Σύνοδος (ἥτις, εἰ καὶ

μὴ κατὰ λεκτικὴν ἀκριβολογίαν, καλεῖται παρά τινων ὀγδόη Οἰκουμενικὴ), ἐν ᾗ παρῆσαν καὶ οἱ ληγάτοι Ἰωάννου τοῦ Η'. Πέτρος πρεσβύτερος Καρδινάλις, καὶ Παῦλος καὶ Εὐγένιος ἐπίσκοποι. Ἐν τῇ πρώτῃ συνεδριάσει ἀνεγνώσθη ἡ πρὸς τοὺς συναυτοκράτορας Βασίλειον, Λέοντα καὶ Ἀλέξανδρον ἐπιστολὴ τοῦ Ἰωάννου, ἐν ᾗ γέγραπται τάδε· « ἀξιοῦμεν δὲ καὶ τοῦτο τὴν ὑμετέραν εὐσέβειαν, μήτε ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Φώτιος ὁ ἁγιώτατος, μήτε τις τῶν ἑαυτοῦ διαδόχων ἀπὸ τοῦ νῦν χειροτονήσῃ εἰς Βουλγαρίαν (α), μήτε αὐτοχειρίᾳ, μήτε δι' ὠμοφόρου ἀποσελλομένου, μήτε διεκδικῇ τὴν εἰρημένην ἐπαρχίαν τῶν Βουλγάρων ὡς ἰδίαν ἑαυτοῦ· ἐπ' ἀλλοτρίῳ γὰρ θεμελίῳ οὐ δεῖ ἐποικοδομεῖν ἄλλους.... εἰ καί τινες ἀφήρπασαν ἀφ' ἡμῶν τὴν μὴ προσήκουσαν αὐτοῖς ἐπαρχίαν, καὶ χειροτονίας καὶ καθιερώσεις ἐκκλησιῶν... ἐποίησαν » (Πρακτ. Συν. τόμ. Β'. σελ. 938). Ἐφεξῆς ἀνεγνώσθη καὶ ἡ πρὸς τὸν Φώτιον ἐπιστολὴ τοῦ Ἰωάννου· μετὰ δὲ τὴν ἀνάγνωσιν,

(α) Ἡ λέξις *Βουλγαρία* ἐνταῦθα δηλοῖ οὐ μόνον τὴν κάτω Μοισίαν ἀλλὰ πάσας τὰς ἐν τῇ ά. σημ. τῆς 38 σελ. ἀναφερομένας Γραικομακεδονικὰς τῆς Ἰλλυρικῆς Ὑπαρχίας χώρας, ἅτε δὴ ὑπὸ τῶν Βουλγάρων τῷ τότε κατεχομένας. Ἰστέον δὲ ὅτι αἱ χῶραι αὗται, ἐφ' ὧν ἠξίουν ἥ τε Ἀνατολικὴ καὶ Δυτικὴ ἐκκλησία πνευματικὴν δικαιοδοσίαν, τρεῖς περίπου αἰῶνας πρὸ τῆς ἔριδος ταύτης, ἀποσπασθεῖσαι ἀπὸ τοῦ Θρόνου τῆς Κωνσταντινουπόλεως ἐδωρήθησαν διὰ Νεαρᾶς τοῦ Ἰουστινιανοῦ τῷ νεοπλάστῳ ἀρχιεπισκόπῳ Ἀχριδῶν, ὅσις, ἕνεκα τῆς ἐν ἐκείναις ταῖς ἐπαρχίαις ἐφ' ἱκανὸν χρόνον ἐπικρατήσεως τῶν Βουλγάρων, ἐπεκλήθη καὶ *ἀρχιεπίσκοπος Βουλγαρίας*, καὶ τοῦτο τὸ ὄνομα διετήρησε καὶ μετὰ τὴν ἐκεῖθεν ἐκδίωξιν αὐτῶν ὑπὸ Βασιλείου τοῦ Β'. Ἀλλὰ περὶ τούτου λέγομεν ἐν τῷ ἕξῃ κεφαλαίῳ πλατύτερον.

συζητήσεως γενομένης περὶ τοῦ τίνι προσήκει ἡ ἐπὶ τῆς Βουλγαρίας πνευματικὴ δικαιοδοσία, « Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ Καρδινάλις εἶπε· τοῦτο δὲ γέγραπται ἐν τῷ κομμονιτορίῳ ἡμῶν (α), ὅπως ἐν τῇ τῶν Βουλγάρων χώρᾳ μήτε ὠμοφόριον ἀποστείλητε, μήτε χειροτονίαν ποιήσητε· » πρὸς ὃν πάνυ εὐστόχως ὁ Φώτιος ἀπεκρίνατο· « ἡμεῖς ἀεὶ τῆς ἀγάπης ὄντες καὶ τῆς εἰρήνης ἐρασταὶ, καὶ ταυτὶ πάντα χαρίζεσθαι, εἰ δυνατὸν.... καὶ πρὸ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου Πάπα Ἰωάννου... οὔτε ὠμοφόριον χειροτονίας ἀπεστείλαμεν, οὐ μὴν ἀλλ' οὐδὲ χειροτονίας τινὰς ἐποιησάμεθα (οὐχ ὡς μὴ ἔχοντες κανονικὸν δικαίωμα ἐπὶ τῆς ἐν Βουλγαρίᾳ Ἐκκλησίας, ἀλλ') ὡς τῆς ἀγάπης καὶ τῆς εἰρήνης, ὥσπερ ἔφθημεν εἰπόντες, τὸν ἔνθεον διασώζοντες ἔρωτα.... Τί γὰρ ἂν εἴη πλατυσμὸς ὁρίων, ΤΗΣ ΘΕΣΜΟΘΕΣΙΑΣ ΟΥ ΣΥΝΑΝΑΓΚΑΖΟΥΣΗΣ, ἀλλ' ἡ αὔξησις φροντίδων, καὶ προσθήκη μείζονος μερίμνης καὶ ἐπιπονωτέρας; » καὶ παρακατιών· « ἡμεῖς καὶ πάλαι τῷ Μακαριωτάτῳ Πάπᾳ Νικολάῳ, θρόνους τινὰς καὶ ἐνορίας αἰτησαμένῳ, οὕτως ἀντεῖπον τῷ γράμματι· ὅτι τοὺς θρόνους οὓς ἐπιζητεῖ σου ἡ ἁγιωσύνη, τῇ βασιλικῇ τῆς Ἀνατολῆς συμπεριέχονται Ἀρχῇ· εἰ δὲ τὸ τῆς ἐμῆς ἐν Κυρίῳ ἀγάπης πλάτος μὴ ταῖς βασιλικαῖς ἐσενοχωρεῖτο ἀνάγκαις, ΜΗΔΕ ΤΙΣ ΑΛΛΗ ΜΕ ΚΑΝΟΝΙΚΗ ΑΝΕΧΑΙΤΙΖΕ ΔΙΚΗ, εἶχον δὲ καὶ τὸ ὑποτελοῦν Ἱερατικὸν συμπνέον ἐπὶ τούτῳ, οὐχ οὕς τινας λέγεις ὑπὸ τὸν Φώ-

(α) « Κομμονιτόριον τὴν ἐντολὴν τοῦ Πάπα φησὶ, δι' ἧς ἐνετείλατο ἐγγράφως, τίνα ὤφειλον ζητηθῆναι, ἵνα γινώσκωσι ταῦτα, καὶ μηδὲν λανθάνῃ αὐτῶν » (Ζων. ἐν τῷ Συντ. τῶν ἱερ. Καν. Τόμ. Γ'. σελ. 289).

μης τελέσαι ποτὲ, ἀλλὰ καὶ οἳ μηδέποτε ὑπ' ἐκεῖνον γεγόνασι, καὶ τούτους ἕτοιμος ἂν κατέστην, ὅσον εἰς φιλίας ἀνήκει διάθεσιν, αἰτουμένῳ σοι παρασχεῖν. » Ταῦτα δ' αὐτοῦ εἰρηκότος, Προκόπιος ὁ Καισαρείας εἶπεν· « ἐλπίζομεν εἰς τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ .... ὅτι πάντα τὰ ἔθνη ὑποταγῆναι ἔχουσι τῷ Βασιλείῳ Κράτει τῶν θεοπροβλήτων καὶ μεγάλων Βασιλέων ἡμῶν, καὶ τούτου γενομένου, τότε, ὡς κελεύει ἡ κραταιοτάτη αὐτῶν βασιλεία, ποιεῖ καὶ ἀποδίδωσιν ἑκάστῳ τὰς οἰκίας ἐνορίας, τῆς κατὰ ΚΑΙΡΟΥΣ ΕΠΙΨΗΦΙΖΟΜΕΝΗΣ ΣΥΝΟΔΟΥ· » μεθ' ὃν Γρηγόριος ὁ Ἐφέσου· « ὁ περὶ ἐνοριῶν λόγος οὐκ ἔχει νῦν χώραν, μὴ συγκεφαλαιουμένων εἰς μίαν βασιλείαν ὁμοιότροπον πάντων τῶν Ἀρχιερατικῶν θρόνων· τῆς δὲ θείας νεύσεως τοῦτο τελούσης, ... τότε καὶ ἡ περὶ τῆς ἐνορίας δικαιολογία χώραν ἕξει, καὶ δωρεῖσθαι καὶ ἀντιδωρεῖσθαι ἑκάστῳ ἀρχιερατικῷ θρόνῳ ἔξεστι, βουλομένῳ τῷ πλησίον. » Τὴν δὲ ἀνωτέρω θεωρίαν τοῦ ἱεροῦ Φωτίου, τὴν περὶ τῶν θρόνων Δακίας, Πραιβαλίδος, Δαρδανίας, Μοισίας κτλ. ἐπιδοκιμάζουσα ἅπασα ἡ Ἱερὰ Σύνοδος, καὶ ἐπευφημοῦσα εἰς τὰς πρὸς τὸν Νικόλαον καὶ Ἰωάννην εὐστόχους αὐτοῦ ἀπαντήσεις, ὁμοθυμαδὸν ἀνεβόησε· « ΠΑΝΤΕΣ ΟΥΤΩ ΛΕΓΟΜΕΝ » (αὐτ. σελ. 942 καὶ 943).

§. 19. Ἐν δὲ τῇ Γ'. Συνεδριάσει ἀνεγνώσθη ἡ πρὸς τὴν τῆς Κωνσταντινουπόλεως καὶ τὰς ἄλλας Πατριαρχικὰς Ἐκκλησίας ἐπιστολὴ τοῦ Ἰωάννου, ἐν ᾗ ἀναγινώσκομεν τάδε· « παρακαλοῦμεν δὲ καὶ τοῦτο τὴν ὑμετέραν ἀδελφότητα, ἵνα τὴν ἐπαρχίαν τῆς Βουλγαρίας, ἣν ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου, καὶ τοῦ κόπου καὶ μόχθου τοῦ προηγησαμένου ἡμῖν εἰς Χριστὸν ἐπέστρεψεν, ἀποδῶσητε ἡμῖν » (αὐτ.

952). Ἀκολούθως ἀνέγνωσαν οἱ Παπικοὶ ληγάτοι τὸ κομμονιτόριον (ἤτοι τὰς γραπτὰς ὁδηγίας τὰς δοθείσας αὐτοῖς), οὗ τινος τὸ θ'. κεφάλαιον ἔχει ὧδε· « θέλομεν ἐνώπιον τῆς Συνόδου ἵνα τὸν προρρηθέντα Φώτιον τὸν ἁγιώτατον Πατριάρχην παρακαλέσητε, μήτε ὠμοφόριον εἰς Βουλγαρίαν ἀποστεῖλαι, μήτε χειροτονῆσαι ἐν τῇ αὐτῇ Ἐπαρχίᾳ· ἐὰν γὰρ τοῦτο ποιήσῃ, ἐλέγξαι αὐτὸν ἔχομεν κανονικῶς » (σελ. 958).

§. 20. Ἐν τῇ Δ'. Συνεδριάσει, γενομένης καὶ πάλιν συζητήσεως περὶ τοῦ Βουλγαρικοῦ ζητήματος, μετὰ τὴν ἐκ δευτέρου ἀνάγνωσιν τοῦ κομμονιτορίου, ἡ ἁγία Σύνοδος πρὸς τοὺς Ῥωμαίους τοποτηρητὰς εἶπεν· « ἡμεῖς καὶ προείπομεν τῇ ὑμῶν ἁγιότητι, καὶ πάλιν λέγομεν ὅτι ὁ περὶ ἐνορίας λόγος τῆς παρούσης διέστηκεν ὑποθέσεως, καὶ καιρὸν ἴδιον ἐπιζητεῖ. Ὅμως οὖν μεθ' ὑμῶν συμπαρακαλοῦμεν τὸν εὐσεβέστατον ἡμῶν Βασιλέα περὶ τούτου, καὶ ὡς ἂν ὁδηγήσῃ αὐτὸν ὁ Θεὸς καὶ ποιήσῃ, ΤΩΝ ΘΕΙΩΝ ΚΑΙ ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ ΣΥΜΠΙΝΕΟΝΤΩΝ ΚΑΙ ΔΙΑΣΩΖΟΜΕΝΩΝ ΗΜΙΝ, στέργομεν καὶ συνευδοκοῦμεν καὶ ἡμεῖς » (α)· ἐφεξῆς λαβὼν τὸν λόγον ὁ Μητροπολίτης Καισαρείας Προκόπιος εἶπεν· « ἐλπίζο-

(α) Πάντως διὰ τῶν φράσεων « *τῆς κατὰ καιροὺς ἐπιψηφιζομένης ἁγίας Συνόδου* »· « *τῶν θείων καὶ ἱερῶν κανόνων συμπιεόντων καὶ διασωζομένων ἡμῖν* » « *τῆς θεσμοθεσίας οὐ συναναγκαζούσης*» καὶ «*θεσμῶν παλαιῶν οὐ λυομένων* » καὶ τὰ παραπλήσια, οἱ ἱεροὶ πατέρες ἀπερράπιζον εὐσχήμως καὶ εὐγενῶς τὰς ἐπὶ τῆς Βουλγαρίας ἀξιώσεις τῶν Παπῶν ὑποδηλοῦντες ἅμα τὴν ἀπὸ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως κανονικὴν αὐτῆς ἐξάρτησιν. Πάνυ ἐμφρόνως καὶ συνετῶς πρὸς τὴν Ῥώμην πολιτευόμενοι χάριν τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ ὁμονοίας.

μεν εἰς τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ .... ὅτι ἀποκαταστῆσαι ἔχει τῇ βασιλείᾳ τὰ ἀρχαῖα ὅρια, καὶ πάσης τῆς ὑφ' ἡλίῳ τὴν ἡνιοχίαν· καὶ ἐπειδὰν τοῦτο γένηται, τότε ... διαστελεῖ τὰς ἐνορίας τῶν Ἀρχιερατικῶν θρόνων, ὥστε μηκέτι ἔριδα ἀναφύεσθαι· » μεθ' ὃν Θεόφιλος ὁ Ἰκονίου· « οὕτως ἐλπίζομεν ὅτι ἔχει γενέσθαι· καὶ τότε πλέον ὧν ἐπιθυμεῖ ὁ ἁγιώτατος Πάπας Ῥώμης ἔχει προσλαβέσθαι, μάλιστα τοῦ ἁγιωτάτου ἡμῶν Πατριάρχου Κυρίου Φωτίου τοσαύτην τὴν αἰδὼ καὶ τὸ σέβας κεκτημένου. » Τελευταῖον δὲ Νικήτας ὁ Σμύρνης εἶπε· « τοσαύτης οὔσης ἀγάπης καὶ φιλίας πνευματικῆς μεταξὺ τοῦ τε ἁγιωτάτου Πάπα Ῥώμης καὶ τοῦ ἁγιωτάτου Πατριάρχου ἡμῶν Φωτίου, τίς οὐκ οἶδεν ἀκριβῶς, ὅτι ὥσπερ τὴν ψυχὴν ἔχουσι μίαν, οὕτω καὶ τὸν ὑπὸ χεῖρα λαὸν, καὶ τὰς ὑποχειρίους χώρας κοινὰς ἡγοῦνται, καὶ ἑκάτερος αὐτῶν οἰκεῖον κέρδος ἐν τῷ τοῦ πλησίον καὶ φίλου τίθεται κέρδει; » Ταῦτα δὲ πάντα ἐπισφραγίζοντες οἱ τῶν Πατριαρχικῶν θρόνων τῆς Ἑῴας λήξεως τοποτηρηταὶ, μετὰ πάσης τῆς ἱερᾶς Συνόδου ἀνεβόησαν· « ΤΑ ΑΥΤΑ ΠΑΝΤΕΣ ΚΑΙ ΗΜΕΙΣ ΣΥΝΕΠΙΣΤΑΜΕΘΑ ΚΑΙ ΛΕΓΟΜΕΝ » (σελ. 963).

§. 21. Οὐκ ἔστι νῦν ὁ λόγος περὶ τοῦ τίς τῶν διαφερομένων εἶχε τὸ δίκαιον· τίνι δηλονότι προσῆκεν ἡ ἐπὶ τῶν ἐπαρχιῶν τοῦ Ἰλλυρικοῦ καὶ τῆς Βουλγαρίας κανονικὴ δικαιοδοσία. Σκοπὸς ἡμῶν ἐστιν ἵν' ἀποδείξωμεν ἁπλῶς διά τε τῶν Παπικῶν καὶ Πατριαρχικῶν ἐπιςολῶν, διὰ τῶν προβαλλομένων ἑκατέρωθεν κανονικῶν ἀξιώσεων καὶ τῆς προεκτεθείσης Συνοδικῆς συζητήσεως ἐπὶ τοῦ Βουλγαρικοῦ ζητήματος, ὅτι ἡ Ἐκκλησία τῆς Βουλγαρίας οὐδέποτε ὑπῆρξεν ἀνεξάρτητος καὶ αὐτοκέφαλος, εἴτε πρὸ εἴτε μετὰ τὴν ἐν αὐτῇ ἐγκαθίδρυσιν τῶν Βουλγάρων, καὶ ὅτι οὐδέποτε ἀνεγνωρίσθη οὔτε ὑπὸ τῶν Πατριαρχῶν τῆς Ἀνατολικῆς Ἐκκλησίας, οὔτε ὑπὸ τῶν Παπῶν ὡς τοιαύτη, εἴτε κατὰ μέρος, εἴτε ἐν Συνόδῳ συνηθροισμένων· τοὐναντίον δὲ ἀνωμολογήθη (α) καὶ

(α) Τίνι δὲ προσῆκε κανονικῶς ἡ ἐπὶ τῶν ἐπαρχιῶν τοῦ Ἰλλυρικοῦ δικαιοδοσία τοῦτο ἱκανῶς, οἶμαι, ἀποδέδεικται ἐν τοῖς ἔμπροσθεν. Εἰς συμπλήρωσιν δὲ τῶν ἐν ταῖς προηγουμέναις σημειώσεσιν εἰρημένων περὶ Βουλγαρίας, καὶ εἰς μείζονα ἔνδειξιν τῆς ἐπ' αὐτῆς πνευματικῆς ἐξουσίας τοῦ Οἰκουμενικοῦ Πατριάρχου παρατιθέμεθα τὰ ἑπόμενα· « Εἰς τὴν πίστιν τῶν Χριστιανῶν ἦλθον κατ' αὐτοὺς τοὺς χρόνους οἱ Βούλγαροι, ὑποῦ ἦσαν ἐθνικοὶ, διὰ μέσου τῆς ἀδελφῆς τοῦ αὐτῶν ἄρχοντος Βογόρεως, ἥτις αἰχμαλωτισθεῖσα καὶ εὑρισκομένη εἰς τὰ Βασίλεια ἐτελειώθη μὲ τὸ θεῖον βάπτισμα, καὶ ἔμαθε γράμματα· ἀπελθοῦσα δὲ εἰς τὸν ἀδελφόν της παρεκίνει αὐτὸν εἰς τὴν τῶν Χριστιανῶν θρησκείαν, πάντοτε ὁμιλοῦσα μὲ αὐτὸν περὶ αὐτῆς, καὶ τὰ Χριστιανικὰ ἐπαινοῦσα μυστήρια· γενομένης δὲ πολλῆς ἀκαρπίας εἰς τὴν χώραν τῶν Βουλγάρων ἐν ἔτει 864, διὰ τὴν ὁποίαν πάντοθεν στενοχωρηθέντες οἱ κάτοικοι αὐτῆς, Μιχαὴλ ὁ βασιλεὺς μὲ τὸν θεῖόν του Βάρδαν τὸν Καίσαρα εὐκαιρίαν εὑρὼν μὲ πολὺν στρατὸν καὶ δύναμιν κατὰ τῶν Βουλγάρων ἐστράτευσε· βιασθέντες δὲ οὗτοι ὑπ' αὐτοῦ πολλὰ καὶ εἰς τὸν ἔσχατον κίνδυνον ἐλθόντες, ἀπεφάσισαν ἑκουσίως νὰ παραδοθῶσιν ὁμοῦ μὲ τὸν βασιλέα των Βόγοριν τὸν ἤδη κατηχηθέντα παρὰ τῆς ἰδίας ἀδελφῆς, καὶ νὰ εὑρίσκωνται εἰς τὴν ὑποταγὴν τῶν Ρωμαίων γενόμενοι Χριστιανοί, καὶ *νὰ ἦναι ἡ Ἐκκλησία των ὑποκειμένη εἰς τὴν ἐκκλησίαν αὐτῶν τῶν Ῥωμαίων τοῦ Κωνσταντινουπόλεως Πατριάρχου.* Τελειωθείσης λοιπὸν τῆς συμφωνίας, ἦλθεν ὁ Βόγορις μὲ τοὺς μεγιστάνας του εἰς τὴν Βασιλεύουσαν καὶ βαπτισθεὶς εἰς αὐτὴν, ἀπὸ τὸν Μιχαὴλ τὸν βασιλέα ἀνεδέχθη μετονομασθεὶς εἰς ὄνομα τοῦ βασιλέως Μιχαήλ. Τούτου δὲ τοῦ Μιχαὴλ τελευτήσαντος, ὁ μετ' αὐτὸν γενόμενος ἡγεμὼν τῶν Βουλγάρων, μὴ ἀναδεχόμενος τὴν τοῦ Χριστοῦ πίστιν, ἀλλὰ βιασθεὶς ἀπὸ τὴν κατ' ἐκεῖνον τὸν καιρὸν πεῖναν ἠθέλησε νὰ χριστιανίσῃ· ἐλθὼν δὲ

ἀνεκηρύχθη ΣΥΝΟΔΙΚΩΣ ὑπὸ παντὸς τοῦ πληρώματος τῆς Καθολικῆς Ἐκκλησίας ὑποτελὴς καὶ ἐξηρτημένη, ὡς προδεδήλωται.

εἰς Κωνσταντινούπολιν μὲ τοὺς ἄρχοντάς του πάντες οἱ Βούλγαροι εἰς Χριστὸν ἐβαπτίσθησαν, οἵτινες τὸ πρότερον ἐλέγοντο Χάζαροι, Αἴλουροι, κτλ. μετωνομάσθη δὲ ἐν τῷ βαπτίσματι ὑπὸ Μιχαὴλ τοῦ αὐτοκράτορος ὁ ἡγεμὼν αὐτῶν Συμεών· τούτου δὲ γενομένου ἔπεμψε μὲ αὐτὸν τὸν νεοφώτιστον Ἡγεμόνα, ὅστις φανερὰ γνωρίσας τὴν τοῦ κηρυχθέντος ὑπὸ τῆς ἀδελφῆς αὐτοῦ δύναμιν, καὶ θαρσήσας τῷ τοῦ Σταυροῦ σημείῳ προπορευομένῳ αὐτοῦ, τοὺς ἀντιστάντας αὐτῷ Βουλγάρους, ὡς τῆς πατρίου τιμῆς καὶ δόξης ἀποστάντι κατ' ἄκρας νενίκηκε, καὶ οὕτω πάντες ἑπομένως ἐξελέξαντο τὰ τῶν Χριστιανῶν. Φώτιος δὲ ὁ Κωνσταντινουπόλεως Πατριάρχης ἀπέστειλεν εἰς τὴν Βουλγαρίαν ἐπισκόπους τε καὶ διδασκάλους πρὸς κατήχησιν τοῦ νεοσυλλέκτου λαοῦ καὶ διδασκαλίαν τῆς Ὀρθοδόξου πίστεως· διὰ τοῦτο ὕστερον καὶ συχνὰς ἐπιστολὰς πρὸς αὐτὸν τὸν Μιχαὴλ ἔπεμπε, τὸν ὁποῖον εἰς μίαν του ἐπιστολὴν οὕτω καλεῖ· **Ω ΚΑΛΟΝ ΑΓΑΛΜΑ ΤΩΝ ΕΜΩΝ ΠΟΝΩΝ ΚΑΙ ΤΩΝ ΠΝΕΥΜΑΤΙΚΩΝ ΩΔΙΝΩΝ ΕΥΓΕΝΕΣ ΚΑΙ ΓΝΗΣΙΟΝ ΓΕΝΝΗΜΑ.** (Μελετ. Ἐκκλ. Ἱστ. Τ. Β΄. σελ. **276**).

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ.

ΠΕΡΙ ΤΗΣ ΑΡΧΙΕΠΙΣΚΟΠΗΣ ΑΧΡΙΔΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Σύστασις, διάρκεια καὶ φάσεις αὐτῆς.

§. 22. Πρὸς λύσιν τοῦ περὶ τῆς Ἀρχιεπισκοπῆς Ἀχριδῶν ζητήματος ἀναγκαῖον ἡγοῦμαι προτάξασθαι ἀρχάς τινας, ἐφ' ὧν ἐφεδράζεται ἅπας ὁ διοικητικὸς τῆς ἐκκλησίας ὀργανισμός· ἐπὶ δὲ τῆς ἀναπτύξεως ταύτης ἐπικαλούμεθα τοῦ ἀναγνώστου τὴν σύντονον προσοχήν, διότι ἔσεται ἡ κυρία βάσις τοῦ θέματος ἡμῶν. — Κατὰ τὴν διδασκαλίαν τῶν θείων Πατέρων, τὰ θεσπίσματα τῶν πανσέπτων Συνόδων καὶ τὰς διατάξεις τῆς πολιτικῆς Ἀρχῆς, ἡ Ἐκκλησία μόνη κέκτηται τὸ δικαίωμα τοῦ κανονίζειν τὴν ἱεραρχικὴν αὐτῆς ὑπαλληλίαν, ἀναγορεύειν αὐτοκεφάλους Ἀρχιεπισκοπὰς, συνιστᾷν Πατριαρχεῖα κτλ. ἡ δὲ χριστιανικὴ ὀρθόδοξος πολιτεία, εἴτε προσκαλουμένη ὑπὸ τῆς Ἐκκλησίας, εἴτε καὶ αὐθορμήτως, κρατύνει καὶ ἐπισφραγίζει τὰ συνοδικῶς δεδογμένα διὰ νόμων καὶ ψηφισμάτων· διά τοι τοῦτο οἱ εὐσεβεῖς Αὐτοκράτορες ἐκαλοῦντο θεφένσορες καὶ ἐπιστημονάρχαι τῆς Ἐκκλησίας, ἤτοι ὑπερασπισταὶ καὶ φύλακες τῶν θείων αὐτῆς δικαιωμάτων, ἐπόπται τῆς ἐκκλησιαστικῆς ἐπιστήμης ἢ πειθαρχίας (disciplinæ), καὶ ἐκτελεσταὶ τῶν ἱερῶν

αὐτῆς ἀποφάσεων (α)· « τὴν τοῦ ἐπιστημονάρχου τῆς Ἐκκλησίας τάξιν λαχούσης τῆς βασιλείας μου (θεσπίζει Ἰσαάκιος ὁ Ἄγγελος), διορθοῦσθαι τὰ παρὰ τοὺς Ἐκκλησιαστικοὺς κανόνας κελεύομεν » (β). Κατὰ δὲ τὴν ἔννοιαν ταύτην ἐκάλει ἑαυτὸν Κωνσταντῖνος ὁ Μέγας « Ἐπίσκοπον τῶν ἐκτὸς τῆς Ἐκκλησίας » (γ)·

(α) « Ὁ Αὐτοκράτωρ τὰ τῆς *Συνόδου ὑπηρετεῖ*, ὡς χρηστὸς Κυρίου καὶ δεφένσωρ καὶ *ὑπηρέτης* τῆς Ἐκκλησίας » (Συμ. Θεσσαλ. κεφ. σκέ.)

(β) Ἀληθῶς ἐπενέβαινον ἔστιν ὅτε οἱ Αὐτοκράτορες εἰς τὰ τῆς Ἐκκλησίας αὐτογνωμόνως καὶ αὐθαιρέτως, ἀλλ' *ἡ παράβασις νόμον οὐ ποιεῖ* (**abusus non tolit usum**)· ἄλλως τε ἡ Ἐκκλησία οὐ μόνον ἀντέςη εἰς τὰς τοιαύτας ἐπεμβάσεις καὶ πανδήμως κατ' αὐτῶν διεμαρτυρήθη, καὶ θεσπίσματα αὐτῶν ἠκύρωσε (ὡς ὀψόμεθα), ἀλλὰ καὶ πολλοὺς ἐξ αὐτῶν ἀναθεμάτισε καὶ τῶν ἱερῶν αὐτῆς περιβόλων ἐξέωσε!

(γ) Τοσοῦτον σέβας ἐπεδείκνυε πρὸς τοὺς Συνοδικοὺς ὅρους καὶ κανόνας ὁ Ἰσαπόστολος ἐκεῖνος Αὐτοκράτωρ, ὥστε ἐλογίζετο αὐτοὺς ὡς ἐντολὰς αὐτοῦ τοῦ Θεοῦ. « Πᾶν ὅ,τι ἐν ταῖς ἁγίοις τῶν Ἐπισκόπων Συνεδρίοις πράττεται (ἔλεγε), τοῦτο *πρὸς τὴν θείαν βούλησιν ἔχει τὴν ἀναφοράν* ». Τηλικαύτην δὲ ὑποταγὴν καὶ εὐλάβειαν ἐδήλου πρὸς τὴν Ἐκκλησιαστικὴν ἀρχὴν ὥςε ἔλεγε· « τοῖς Ἱερεῦσι παρὰ Θεοῦ δεδόσθαι τὴν ἐξου- » σίαν, ἵνα κρίνωσι (κατὰ τὰ πνευματικὰ) καὶ τοὺς Βασιλεῖς » (Εὐσέβ. ἐν βίῳ Κωνστ.) — « Εἴτι ἂν τυπώσῃ ἡ ἁγία Οἰκου- » μενικὴ Σύνοδος (ἔλεγε καὶ Μαρκιανὸς ὁ Αὐτοκράτωρ πρὸς τοὺς » περὶ τὸν αἱρεσιάρχην Εὐτυχῆ) καὶ ἐπιδῷ μοι ἐγγράφως, » *τούτοις στοιχῶ· τούτοις πιστεύω· τούτοις στέργω* » (Πρακ. Συν. Τ. Β'. σελ. 148). Συνῳδὰ τούτοις καὶ οἱ διάδοχοι αὐτῶν Ἰουστινιανὸς καὶ Λέων ἀποφαίνονται· « Θεσπίζομεν τάξιν νόμων » ἐπέχειν τοὺς Ἐκκλησιαστικοὺς κανόνας, τοὺς ὑπὸ τῶν ἁγίων » τεσσάρων Συνόδων ἐκτεθέντας ἢ βεβαιωθέντας » (Ἰους.) καὶ « τῶν προειρημένων ἁγίων Συνόδων τὰ δόγματα *καθάπερ τὰς* » *θείας Γραφὰς δεχόμεθα*· » καὶ « δεχόμεθα τὰς ἁγίας ἑπτὰ » Οἰκουμενικὰς Συνόδους *ὡς τὸ ἅγιον Εὐαγγέλιον* » (Λέων) κλ.

καθὸ δὲ τοιοῦτοι οἱ εὐσεβεῖς Αὐτοκράτορες ἐξέδιδον ψηφίσματα κατὰ τοῦ προσηλυτισμοῦ καὶ τῆς διαδόσεως τῆς ὑπὸ τῆς Ἐκκλησίας καταδικασθείσης αἱρέσεως (α), καὶ νόμους περὶ Ἐκκλησιαστικῆς εὐταξίας, συμφώνους τοῖς προεκδεδομένοις κανόσι, καὶ πολλάκις ἐκ τῶν λέξεων αὐτῶν συνυφασμένους. Πᾶσα ἄρα αὐθαίρετος ἐπέμβασις τῆς πολιτικῆς ἀρχῆς ἐν τοῖς ἱεροῖς ἐςιν ἄθεσμος καὶ πᾶς νόμος ἀντιβαίνων τοῖς θείοις κανόσιν ἄκυρος καὶ ἀνίσχυρος καὶ νομικῶς καὶ ἐκκλησιαςικῶς. « Οἱ τοῖς κανόσιν ἐναντιούμενοι πραγματικοὶ τύποι (βασιλικὰ διατάγματα) ἄκυροί εἰσι » (Φωτ. Τίτλ. ά. Κεφ. Β'.)· καὶ « σώζεσθαι ἱερὰ καὶ ἀβίαστα τὰ ἐν ἑκάστῃ ἐπαρχίᾳ προσόντα δίκαια ὁρίζομεν .... εἰ δέ τις μαχόμενον τύπον τοῖς νῦν ὡρισμένοις προσκομίσοι, ἄκυρον τοῦτον ἔδοξε τῇ ἁγίᾳ πάσῃ καὶ Οἰκουμενικῇ Συνόδῳ » (Καν. ἡ. τῆς Γ'.)· καὶ « κατὰ τῶν κανόνων ΜΗΔΕΝ πραγματικὸν ἰσχύσει· » καὶ « οὐκ ἔξεστιν ἀλλοτρίας Ἐκκλησίας δίκαια ἑτέρους Ἐπισκόπους περιαιρεῖσθαι· κατὰ θεῖον πραγματικόν (β)· τοῦτο παρὰ τοὺς κανόνας ἐστί. ΠΑΝΤΕΣ τὰ αὐτὰ λέγομεν· ὅλα τὰ πραγματικὰ ἀργήσει, οἱ κανόνες τῶν Πατέρων κρατείτωσαν » (Πρακ. Συν. αὐτ. 148). Πρὸς ταύτας δὲ τὰς ἀρχὰς ἀντιπαρεξεταζομένη ἡ πρᾶξις τοῦ Ἰουστινιανοῦ, ἀποδεικνύεται ἄκυρος καὶ ἀνίσχυρος.

§. 23. Εἴδομεν ὅτι οἱ θεῖοι Ἀπόστολοι προκατεβάλλοντο τὰς θεμελιώδεις ἀρχὰς τοῦ διοικητικοῦ τῆς Ἐκ-

(α) Βλ. τὰ κατὰ τῶν αἱρέσεων διατάγματα Θεοδοσίου τοῦ Β' ἐν ταῖς πράξ. τῆς Γ' Συνόδου.

(β) Τοῦθ' ὅπερ συνέβη ἐν τῇ συστάσει τῆς Ἀρχιεπισκοπῆς Ἀχριδῶν ὡς παρακατιόντες δείξομεν.

κλησίας ὀργανισμοῦ ἐν τῷ λδ'. αὐτῶν κανόνι, καὶ ὅτι ταύτας οἱ Πατέρες συνοδικῶς ἀνέπτυξαν ἁρμοδίως ταῖς περιστάσεσι, πρὸς ἣν καὶ μόνον ἀποσκοποῦντες, τὴν ἐν πᾶσιν ἁρμονίαν καὶ εὐταξίαν. Ἐν δὲ τῇ ἀναπτύξει τῶν θεμελιωδῶν τούτων ἀρχῶν ἐβάδισαν τὴν μέσην καὶ βασιλικὴν ὁδὸν, ἔνθεν μὲν τὸν πνευματικὸν δεσποτισμὸν καὶ τὴν ἀπόλυτον διοικητικὴν συγκέντρωσιν (centralisation) περιορίζοντες (πρὸς ἣν ἔβλεπον ἀπὸ τῶν πρώτων ἤδη χρόνων τοῦ χριστιανισμοῦ ῥέπουσαν τὴν Ῥώμην), ἔνθεν δὲ τὴν ἐκκλησιαστικὴν ἀναρχίαν ἀπορραπίζοντες. Συνεπείᾳ τοίνυν τῶν ἀρχῶν τούτων, ἐπειδὴ ἡ Ῥώμη ἦν μητρόπολις τῆς Ῥωμαϊκῆς ἐπικρατείας, διὰ τοῦτο ἡ Ἐκκλησία, ὡς εἰκὸς, δέδωκε τῷ Ἐπισκόπῳ αὐτῆς τὴν πρώτην ἔδραν ἐν τῇ ἱεραρχικῇ χοροστασίᾳ· ὅτι δὲ ἡ Ἐκκλησία, καὶ οὐχ οἱ Ῥωμαῖοι Αὐτοκράτορες, δέδωκε τῷ Ῥώμης τὰ πρεσβεῖα, καὶ ΟΥ διὰ τὸν Πέτρον (ὡς διισχυρίζονται οἱ δυτικοὶ χριστιανοὶ) ἀλλὰ διὰ λόγον ὅλως πολιτικὸν, ἀποφαίνεται ἐν Πνεύματι ἁγίῳ ἡ Δ'. Οἰκουμενικὴ Σύνοδος· « τῷ γὰρ θρόνῳ, φησὶ, τῆς Πρεσβυτέρας Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ Πατέρες δεδώκασι τὰ πρεσβεῖα » (Καν. κή. τῆς Δ'.)· καὶ ἐφεξῆς, ὅτε ὁ Αὐτοκρατορικὸς θρόνος μετετέθη εἰς τὴν Νέαν Ῥώμην, ἡ Ἐκκλησία πάλιν, διὰ τοὺς αὐτοὺς λόγους, Συνοδικῷ ψηφίσματι (ὅρ. γ'. τῆς Β'.) ἐκήρυξεν αὐτὴν ἐκκλησιαστικῶς αὐτοκέφαλον καὶ αὐτόνομον, ἀναδείξασα τὸν τέως Ἐπίσκοπον Βυζαντίου καὶ ὑπὸ τὸν Μητροπολίτην Ἡρακλείας τελοῦντα, Πατριάρχην ἰσοδύναμον, ἰσοστάσιον καὶ ἰσότιμον τῷ Πατριάρχῃ τῆς Πρεσβυτέρας Ῥώμης (συνεπισφραγιζούσης καὶ προσεπικυρούσης πάντως καὶ τῆς ὀρθοδόξου πολιτικῆς Ἀρχῆς)· « τῷ αὐτῷ, φησι, σκοπῷ οἱ ἑκατὸν πεν-

τήκοντα θεοφιλέστατοι Ἐπίσκοποι (α) τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς Νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ » κτλ. (Καν. κή. τῆς Δ'.). Ὡσαύτως οἱ Πατέρες ἀνεκήρυξαν, καὶ οἱ αὐτοὶ πάλιν ἀκολούθως ἐπεκύρωσαν τὴν αὐτονομίαν τῶν Ἐκκλησιῶν τῆς Ἱερουσαλὴμ καὶ τῆς Κύπρου διὰ Συνοδικῶν ψηφισμάτων, τὴν μὲν ἐν τῇ Α'. Συνόδῳ, τὴν δὲ ἐν τῇ Γ'. καὶ Ϛ'. « Ἐπειδὴ συνήθεια κεκράτηκε ΚΑΙ παράδοσις ἀρχαία, ὥστε τὸν ἐν Αἰλίᾳ (Ἱερουσαλὴμ) Ἐπίσκοπον τιμᾶσθαι, ἐχέτω τὴν ἀκολουθίαν τῆς τιμῆς, τῇ Μητροπόλει σωζομένου τοῦ οἰκείου ἀξιώματος » (Καν. ζ'. τῆς Α'.)· καὶ « Πρᾶγμα παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς καὶ τοὺς κανόνας τῶν ἁγίων Ἀποστόλων καινοτομούμενον, καὶ τῆς πάντων ἐλευθερίας ἁπτόμενον, προσήγγειλεν ὁ θεοφιλέστατος συνεπίσκοπος Ῥηγῖνος, καὶ οἱ σὺν αὐτῷ θεοφιλέστατοι Ἐπίσκοποι τῆς Κυπρίων ἐπαρχίας Ζήνων καὶ Εὐάγριος. Ὅθεν ἐπειδὴ τὰ κοινὰ πάθη μείζονος δεῖται τῆς θεραπείας, ὡς μείζονα τὴν βλάβην φέροντα, καὶ μάλιστα, εἰ μηδὲ ἔθος ἀρχαῖον παρηκολούθησεν, ὥστε τὸν Ἐπίσκοπον τῆς Ἀντιοχέων πόλεως τὰς ἐν Κύπρῳ ποιεῖσθαι χειροτονίας, ... ἔξουσι τὸ ἀνεπηρέαστον καὶ ἀβίαστον οἱ τῶν ἁγίων Ἐκκλησιῶν τῶν κατὰ τὴν Κύπρον προεστῶτες (Ἀρχιεπίσκοποι) κατὰ τοὺς κανόνας τῶν ὁσίων Πατέρων ΚΑΙ τὴν ἀρχαίαν συνήθειαν,

---

(α) « *Βασιλέων καὶ ἡγεμόνων* (φησὶ Θεόδωρος ὁ Στουδίτης) *τὸ συνεπικυροῦν καὶ συνεπισφραγίζειν τὰ δεδογμένα* » (τῇ Ἐκκλησίᾳ)· ἰδοὺ τὸ μόνον ἐν τοῖς ἱεροῖς ἔργον τῆς πολιτικῆς ἀρχῆς· ὅθεν καὶ ὁ θεῖος Ταράσιος ἐν τῇ Ζ'. Συνόδῳ ἔλεγε· « Βασιλεία *Ἱερωσύνης ἰσχὺς καὶ κραταίωμα* » (Πράξ. Γ'.) ἀλλὰ περὶ τούτων λέγομεν ἐν ἐκτάσει ἐν τῷ « περὶ σχέσεων τῆς Ἐκκλησίας πρὸς τὴν Πολιτικὴν ἐξουσίαν » ἡμετέρῳ πονήματι.

δι' ἑαυτῶν τὰς χειροτονίας τῶν εὐλαβεστάτων Ἐπισκόπων ποιούμενοι· τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων διοικήσεων καὶ τῶν ἁπανταχοῦ Ἐκκλησιῶν παραφυλαχθήσεται .... Εἰ δέ τις μαχόμενον τύπον (πολιτικὸν θέσπισμα) τοῖς νῦν ὡρισμένοις προσκομίσοι, ἄκυρον τοῦτον εἶναι ἔδοξε τῇ ἁγίᾳ πάσῃ καὶ Οἰκουμενικῇ Συνόδῳ » (Καν. ἡ. τῆς Γ'.)· καὶ πάλιν· « συνορῶμεν ὥστε ἀκαινοτόμητα διαφυλαχθῆναι τὰ παρὰ τῶν ἐν Ἐφέσῳ τὸ πρότερον συνελθόντων θεοφόρων Πατέρων τῷ θρόνῳ τοῦ προγεγραμμένου ἀνδρὸς Ἰωάννου, τοῦ τῆς Κυπρίων νήσου προέδρου παρασχεθέντα προνόμια » (Καν. κθ'. τῆς Ϛ'.). Ἡ Ἐκκλησία προσέτι, καὶ οὐχ οἱ Αὐτοκράτορες, ἀνηγόρευσεν αὐτοκέφαλον τὸν θρόνον τῆς Ἰβηρίας ἐν τῇ κατὰ Ἀντιόχειαν Συνόδῳ, κατὰ τὴν μαρτυρίαν τοῦ Βαλσαμῶνος καὶ ἄλλων· « τὸν Ἰβηρίας ἐτίμησε διάγνωσις τῆς ἐν Ἀντιοχείᾳ Συνόδου » (ἐν τῇ ἑρμην. τοῦ β'. καν. τῆς Α'.).

§. 24. Ὅτι δὲ ἡ Ἐκκλησία εἶχε τὴν ἐξουσίαν τοῦ ἀναγορεύειν θρόνους αὐτοκεφάλους καὶ νομοθετεῖν κυριαρχικῶς τὰ τῶν ἐπισκοπικῶν παροικιῶν, καὶ οὐχ ἡ πολιτικὴ Ἀρχὴ (αὕτη γὰρ ὡς προστᾶτις καὶ οἱονεὶ ἐκτελεστικὴ δύναμις τῆς Ἐκκλησίας ἐκράτυνεν ἁπλῶς τὰ συνοδικῶς δεδογμένα διὰ νόμων καὶ νεαρῶν πρὸς τὴν ὁλοσχερῆ αὐτῶν ἐκτέλεσιν καὶ ἐφαρμογήν), ἀποδεικνύεται καὶ ἐκ τῆς συνοδικῆς συζητήσεως, τῆς γενομένης, παρόντων τῶν πολιτικῶν ἀρχόντων, ἐπὶ τῆς ἱκετηρίου ἀναφορᾶς, τῆς προσκομισθείσης μὲν παρὰ Φωτίου Μητροπολίτου Τύρου κατὰ Εὐσταθίου Ἐπισκόπου Βηρυτοῦ τοῖς Αὐτοκράτορσιν Οὐαλεντινιανῷ καὶ Μαρκιανῷ, παραπεμφθείσης δὲ παρ' αὐτῶν εἰς τὴν Δ'. Οἰκουμενικὴν Σύνοδον, ἅτε δὴ τῆς περὶ τούτου συζητήσεως ἀνηκούσης εἰς τὴν

ἁρμοδιότητα τῆς Ἐκκλησιαστικῆς ἀρχῆς. Ἔχει δὲ ἡ ἀναφορὰ ὧδέ πως· « .... τῇ Τυρίων ἁγιωτάτῃ Ἐκκλησίᾳ ἐξ ἀρχαίων καὶ ἀμνημονεύτων χρόνων ἀπὸ τῶν ἁγίων κανόνων φανερὰ ἀφώρισαι δίκαια ἔν τε διοικήσει τῇ ἐκκλησιαστικῇ καὶ ἐν ταῖς χειροτονίαις. Τὰ τοιαῦτα δίκαια Εὐστάθιος ὁ εὐλαβέστατος Ἐπίσκοπος τῆς Βηρυτίων πόλεως, σπουδὴν κατὰ καιρόν τινα ἐσχηκὼς παραφθεῖραι ἐπεχείρησε, θείας ποιησάμενος ἀντιγραφὰς (προκαλέσας βασιλικὸν θέσπισμα) ἐπὶ τοῦ τῆς θείας λήξεως Θεοδοσίου, δι' ὧν ἠβουλήθη, ἐκδικῶν ἑαυτῷ φανερῶν πόλεων χειροτονίας, τινὰ τῶν δικαίων τῆς προειρημένης Ἐκκλησίας εἰς ἑαυτὸν μεταθεῖναι· τοσαύτῃ δὲ ὁ μνημονευθεὶς ὁσιώτατος Ἐπίσκοπος ἐνστάσει ἐχρήσατο, ὡς καὶ συνοδικὸν πρός με παρασκευάσαι ἐκπεμφθῆναι, καθαίρεσιν ἀπειλοῦν, εἰ μή γε τῷ τοιούτῳ ἐπισημήνωμαι χάρτῃ· ᾧ τινι,... διὰ τὴν ἐπενεχθεῖσάν μοι ἀνάγκην, διὰ τῆς ὑπογραφῆς ἐσήμανα ... Δέομαι οὖν, προκυλινδούμενος τῶν ὑμετέρων ἰχνῶν, θεσπίσαι ... πάντα τὰ ἐξ ἀρχῆς ἐκ τῶν θείων κανόνων ἀφορισθέντα τῇ προειρημένῃ ἁγιωτάτῃ Ἐκκλησίᾳ ἄπτωτα μένειν ... ἀργεῖν δὲ πάντα (α) τοῦτο μὲν θεῖα (Αὐτοκρατορικὰ) ψηφίσματα, τοῦτο δὲ καὶ ἀποφάσεις οἱωνδήποτε δικαστηρίων· καὶ εἴ τις δὲ, τούτων χάριν, συναίνεσις παρά τινων ἁγιωτάτων Ἐπισκόπων (β) γεγένηται ἐπ' ἀνατροπῇ τῆς ἀρχαιότητος ΚΑΙ τῶν θείων κανόνων, μηδενός μοι προκρίμα-

(α) Τοῦτο δ' ἔλεγεν ἀναφερόμενος πάντως εἰς τὸν ἡ. τῆς Γ'. « τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων διοικήσεων .... παραφυλαχθήσεται· εἰ δέ τις μαχόμενον τύπον » κτλ.

(β) Ἐννοεῖ τὴν ὑπὸ Ἀνατολίου Κωνσταντινουπόλεως καὶ Μαξίμου Ἀντιοχείας προγεγενημένην Συνοδικὴν πρᾶξιν, περὶ ἧς κατωτέρω.

τος γενομένου ἐκ τῆς παρ' ἐμοῦ γεγεννημένης ἐν τῷ συνοδικῷ, καθ' ὃν εἴρηκα τρόπον, ὑποσημειώσεως . . . πέφυκε γὰρ τὰ τῶν ἱερῶν δίκαια μηδέποτε ἐλαττοῦσθαι ἀπὸ τῆς τῶν προεστώτων (Ἐπισκόπων) χαυνότητος » (ἤτοι ἀκηδίας, ὀλιγωρίας, δειλίας κτλ.). . . . Ταύτης δ' ἀναγνωσθείσης ἐν τῇ Δ'. συνεδριάσει, « οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· τί πρὸς ταῦτα δικαιολογεῖται ὁ εὐλαβέστατος Ἐπίσκοπος τῆς Βηρυτίων Εὐστάθιος; . . . . Ἐγὼ (ἀπεκρίνατο) τῶν κανόνων οὐκ ἐξίσταμαι, οὔτε τύπους τῶν Πατέρων ἀνατρέψαι βούλομαι· ἀλλ' ἐκεῖνα τὰ δίκαια (ἅτινα δηλονότι ἔχω λαβὼν διὰ τοῦ θεσπίσματος τοῦ Θεοδοσίου καὶ τοῦ Συνοδικοῦ) μὴ ἀνατραπῆναι αἰτῶ. . . . . Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· λεγέτω ἡ ἁγία καὶ Οἰκουμενικὴ Σύνοδος, εἴ γε αὐτῇ ἀρέσκει, κατὰ τοὺς κανόνας τῶν Πατέρων ἐξετασθῆναι τὴν περὶ τούτου ζήτησιν, ἢ κατὰ θεῖα πραγματικά. . . . . ἡ ἁγία Σύνοδος εἶπε· κατὰ τῶν κανόνων ΜΗΔΕΝ πραγματικὸν ἰσχύσει, οἱ κανόνες τῶν Πατέρων κρατείτωσαν· οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· νῦν καιρός ἐστι διδαχθῆναι ἡμᾶς (ἤτοι τὴν πολιτικὴν Κυβέρνησιν) παρὰ τῆς ἁγίας Συνόδου, εἰ ἔξεστι κατὰ θεῖον πραγματικὸν ἀλλοτρίας Ἐκκλησίας δίκαια ἑτέρους Ἐπισκόπους περιαιρεῖσθαι· ἡ ἁγία Σύνοδος εἶπεν· ΟΥΚ ἔξεστι τοῦτο· ΠΑΡΑ τοὺς κανόνας ἐστίν· οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον. . . . . λεγέτω ὁ εὐλαβέστατος Ἐπίσκοπος Φώτιος, ποίας Ἐκκλησίας Ἐπίσκοπον ἀφείλετο ὁ Εὐστάθιος, ἢ τί περὶ τῶν χειροτονιῶν τῶν ὑπ' αὐτοῦ γεγενημένων πέπρακται. Φώτιος . . . . εἶπεν· ἔλαβε Βίβλον, Βότρυν, Τρίπολιν, Ὀρθωσιάδα, Ἀρκὰς, Ἀντάραδον . . . . Εὐστάθιος εἶπε· Σύνοδος εὐλαβεστάτων Ἐπισκόπων γέγονεν ἐν Κωνσταντινουπόλει καὶ ὅρος ἐδόθη, ᾧ τινι καὶ Μάξιμος Ἐπίσκοπος Ἀντιοχείας ὑπέγραψε· Μάξιμος . . . . εἶπε· χάρτης μοι ἠνέχθη ἔχων ὑπογραφὴν τοῦ Ὁσιωτάτου Ἀρχιεπισκόπου (Κωνσταντινουπόλεως) Ἀνατολίου . . . . καὶ ὑπέγραψα. Εὐστάθιος εἶπεν· ἐγὼ οὔτε δεήσεις ἐπιδέδωκα τῷ εὐλαβεστάτῳ Βασιλεῖ Θεοδοσίῳ, ἵνα Μητρόπολιν Βηρυτὸν ποιήσῃ (ἦν δὲ ἡ Βηρυτὸς Ἐπισκοπὴ τελοῦσα τὸ πρὶν ὑπὸ τὸν Μητροπολίτην Τύρου), ... καὶ τὰς πόλεις δὲ οὐκ ἐγὼ διεῖλον ἀλλ' ἡ ἁγία Σύνοδος (ἡ ἐν Κωνσταντινουπόλει). . . . οἱ ἄρχοντες εἶπον· λεγέτω ἡ ἁγία Σύνοδος εἰ ἐξῆν τῷ ἁγιωτάτῳ Ἀρχιεπισκόπῳ Ἀνατολίῳ . . . προστάττειν ἀφαιρεθῆναι αὐτοῦ (τοῦ Φωτίου) φανερὰς κατὰ τὴν ἐπαρχίαν Ἐκκλησίας . . . Ἀνατόλιος εἶπεν· οὐδὲν καινοτομίας παρ' ἐμοῦ ἐχόμενον γεγένηται, οὐδὲ συνευρεύσαντες κατὰ τὸ σύνηθες οἱ ἐπιδημοῦντες Ἐπίσκοποι καινὸν τύπον ἐξήνεγκαν, καὶ δείκνυσι τὴν παρουσίαν τῶν Ἐπισκόπων (ἡ Συνοδικὴ πρᾶξις). Φώτιος εἶπεν· οὐδὲν ἕτερον ἀξιῶ . . . ἢ τοὺς κανόνας στῆσαι καὶ λαβεῖν με τὰς Ἐκκλησίας· ἡ ἁγία Σύνοδος ἐβόησεν· αὕτη δικαία αἴτησις, οἱ κανόνες τῶν Πατέρων κρατείτωσαν, δικαία ἡ αἴτησις τοῦ Φωτίου, . . ἀναγινωσκέσθωσαν οἱ κανόνες. » Ἀναγνωσθέντος δὲ τοῦ δ'. τῆς Α'. [ἐν ᾧ θεσπίζει ἡ Σύνοδος τὸν ἐν ἑκάστῃ ἐπαρχίᾳ διορισμὸν ἑνὸς καὶ μόνου Μητροπολίτου (α)], « οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἡ ἁγία Σύνοδος τὸ παριστάμενον αὐτῇ διδασκέτω·

(α) Ἡ διαίρεσις ἄρα καὶ ἡ ἕνωσις, καὶ ἐν γένει ἅπας ὁ διοικητικὸς διοργανισμὸς τῶν ἐπισκοπικῶν παροικιῶν ἦν ἔργον τῶν ἱερῶν Συνόδων καὶ οὐ τῆς πολιτικῆς Ἀρχῆς· οἱ δὲ Ὀρθόδοξοι Αὐτοκράτορες, ὡς προεῖπον, ἐκράτυναν ἁπλῶς διὰ νόμων τὰς Συνοδικὰς ἀποφάσεις.

πότερον, ἀρέσχει κατὰ τὸν κανόνα τοῦτον ἕνα Μητροπολίτην εἶναι τῶν ἐν ταῖς χειροτονίαις τῶν κατὰ πόλιν ἑκάστης ἐπαρχίας εὐλαβεστάτων Ἐπισκόπων τὸ κῦρος ἔχοντα, ἢ (κατὰ τὸ θέσπισμα δηλονότι τοῦ Θεοδοσίου καὶ τὴν πρᾶξιν τῆς ἐν Κωνσταντινουπόλει ἐνδημούσης Συνόδου) δύο .... ἡ ἁγία Σύνοδος εἶπεν· ἕνα κατὰ τοὺς κανόνας τῶν ἁγίων Πατέρων κρατεῖν ... ἀργούντων πάντων τῶν ἐκ παραδρομῆς πραγματικῶν καὶ ἀνατρεψάντων τὰ πνευματικῶς καὶ κατὰ Θεὸν θεσπισθέντα παρὰ τῶν ἁγίων Πατέρων ... οἱ ἄρχοντες εἶπον· ΤΑ ΑΡΕΣΚΟΝΤΑ ΤΗ ΑΓΙΑ ΣΥΝΟΔΩ ΕΙΣ ΤΟΝ ΑΠΑΝΤΑ ΧΡΟΝΟΝ ΒΕΒΑΙΑ ΦΥΛΑΤΤΕΣΘΩ. Κεκρόπειος Σεβαστουπόλεως εἶπεν· ὑπὲρ τοῦ μηδὲ τὴν ὑμετέραν ἐξουσίαν (τὴν πολιτικὴν δηλονότι) αἰτίασιν παρ' ἑκάστου προσώπου δέχεσθαι καὶ κάμνειν, μήτε ἡμᾶς συντρίβεσθαι δεόμεθα, ὥστε ἀργῆσαι ἀναντιῤῥήτως τὰ ἐπὶ βλάβῃ τῶν κανόνων πραγματικά .... ἐν πάσῃ ἐπαρχίᾳ, κρατῆσαι δὲ τοὺς κανόνας ΔΙΑ ΠΑΝΤΩΝ .... (α) ἡ ἁγία Σύνοδος ἐβόησε· ΠΑΝΤΕΣ ΤΑ ΑΥΤΑ ΛΕΓΟΜΕΝ· ὅλα τὰ πραγματικὰ ἀργήσει· οἱ κανόνες κρατείτωσαν ... οἱ ἄρχοντες εἶπον· κατὰ τὴν ψῆφον τῆς ἁγίας Συνόδου καὶ ἐν ταῖς ἄλλαις ΑΠΑΣΑΙΣ ἐπαρχίαις τὰ τῶν κανόνων κρατείτω.... τὰ διαλαληθέντα ἔργῳ παραδοθήσεται» [τουτέστιν ἡ Κυβέρνησις ὡς ἐπόπτης καὶ φύλαξ τῶν συνοδικῶν ἀποφάσεων μεριμνήσει περὶ τῆς ὁλοσχεροῦς ἐκτελέσεως αὐτῶν (6)].

(α) Πρβλ. ἡ. τῆς Γ'. « Εἴτις μαχόμενον τύπον κτλ. »

(6) Ἡ παρουσία ἄρα τῆς πολιτικῆς ἀρχῆς ἐν ταῖς συνεδριάσεσι τῶν Συνόδων σκοπὸν εἶχε τὴν τήρησιν τῆς τάξεως καὶ

§. 25. Ἐκ δὲ τῆς συζητήσεως ταύτης συμπεραίνομεν τὰ ἑπόμενα· 1ον ὅτι ἡ Ἐκκλησία μόνη κέκτηται τὸ δικαίωμα τοῦ διοργανίζειν καὶ διευθετεῖν τὰ τῶν ἐπαρχιῶν· 2ον ὅτι οὐ θέμις ἐστὶ τὴν πολιτικὴν Ἀρχὴν ἐπεμβαίνειν ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασι καὶ νομοθετεῖν τὰ δοκοῦντα αὐτῇ· 3ον ὅτι ἡ πολιτικὴ Ἀρχὴ ἐστιν ἐκτελεστὴς τῶν Συνοδικῶν ἀποφάσεων· 4ον ὅτι ὡς τοιαύτην ἀνωμολόγησεν ἑαυτὴν ἐνώπιον τῶν ἱερῶν ἀντιπροσώπων τοῦ πληρώματος τῆς Ἐκκλησίας· 5ον ὅτι πᾶς νόμος Αὐτοκρατορικὸς ἀντιβαίνων τοῖς θείοις κανόσιν ἐστὶν ἄκυρος· 6ον ὅτι πᾶν ψήφισμα Συνοδικὸν, ἐναντιούμενον τοῖς κανόσι καὶ ταῖς ἀρχαίαις παραδόσεσι, καὶ χωρὶς ἀπολύτου ἀνάγκης καὶ ἐλλόγου αἰτίας ἐκδεδομένον [ἀφορώσης δηλονότι τὸ καθολικὸν συμφέρον τῆς Ἐκκλησίας (Πρβλ. τὸν ιϐ'. τῆς Δ'.)], ἐστὶν ἀργὸν καὶ ἀνίσχυρον.

§. 26. Εἴδομεν ἀνωτέρω ὅτι μετὰ τὴν ἐπὶ Γρατιανοῦ

τὴν ἐκτέλεσιν τῶν ἀποφάσεων αὐτῶν· τοῦτο δὲ γίνεται μᾶλλον καταφανὲς ἐκ τῆς ἐπιστολῆς Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ τῶν αὐτοκρατόρων πρὸς τὴν ἐν Ἐφέσῳ Σύνοδον· « ἐντέταλται Κανδιδιανὸς ὁ μεγαλοπρεπέστατος κόμης τῶν καθωσιωμένων Δομεστίκων ἄχρι τῆς ἁγίας ὑμῶν διαϐῆναι Συνόδου, καὶ *μηδὲν μὲν ταῖς περὶ τῶν δογμάτων γιγομέναις ζητήσεσι κοινωνῆσαι. . . . φροντίσαι δὲ τοῦ μή τινα δειχόντων ἐξ ἀντιπαθείας ἐπὶ πλέον παραταθῆναι*» — «*κανονικῶν (δογματικῶν), ἐξεταζομένων πραγμάτων* (ἔλεγον καὶ οἱ παρὰ τῆς Δ' Συνόδου ἀποσταλέντες ἐπίσκοποι πρὸς τὸν Νεστόριον, μὴ βουλόμενον παρασταθῆναι ἐνώπιον αὐτῆς διὰ τὴν ἀπουσίαν τῶν προστατευόντων αὐτῶν πολιτικῶν ἀρχόντων) *οὔτε ἄρχοντας οὔτε ἑτέρους τινας λαϊκοὺς παρῆναι χρὴ*, εἰ μὴ μόνον τὴν σὴν ὁσιότητα τὴν εἰς πρόσωπον κατηγορουμένην» ὅθεν καὶ αἱ περὶ τῶν πολιτικῶν ἀρχόντων συνήθεις φράσεις εἰσὶν *ἀκροᾶσθαι, παρῆναι*, καὶ τὰ παραπλήσια, ὡς ἔστιν ἰδεῖν ἐν τοῖς Ἱεροῖς Πρακτικοῖς.

προσάρτησιν τῆς Ἰλλυρικῆς ὑπαρχίας τῷ Ἀνατολικῷ βασιλείῳ, περιῆλθεν αὕτη ὑπὸ τὴν δικαιοδοσίαν τοῦ Πατριαρχικοῦ τῆς Κωνσταντινουπόλεως θρόνου, κατὰ τὴν ἔννοιαν τοῦ Ἀποστολ. λδ'. καὶ τοῦ θ'. τῆς ἐν Ἀντιοχείᾳ (σελ. 13, σημ. δ'.), ὅτι τὴν δικαιοδοσίαν ταύτην ἀνεγνώρισε καὶ ἐπεκύρωσεν ὡς ἔννομον διὰ θεσπίσματος Θεοδόσιος ὁ Β'. (σελ. 8), ὅτι ἐπεσφράγισεν αὐτὴν ἡ ἐν Χαλκηδόνι Σύνοδος διὰ τοῦ κή. αὐτῆς κανόνος (σελ. 10 καὶ 11), καὶ τελευταῖον ὅτι αὐτὸς οὗτος ὁ Ἰουστινιανὸς ἐκράτυνε ταύτην διὰ Νεαρᾶς καὶ τῆς πρὸς τὸν Ἐπιφάνιον τὸν Κωνσταντινουπόλεως ἐπιστολῆς αὐτοῦ (σελ. 9). Ἐν τίνι λοιπὸν ἐξουσίᾳ ἐτόλμησεν ὁ ῥηθεὶς Αὐτοκράτωρ ἀθετῆσαι τοὺς κανόνας καὶ τὰς πολιτικὰς διατάξεις, καὶ ἀνακηρύξαι τὸν θρόνον τῆς Ἐπισκοπῆς Ἀχριδῶν αὐτοκέφαλον; Ἡ γὰρ ἐν τῇ ῥλά. Νεαρᾷ φερομένη φράσις « κατὰ τὰ ὁρισθέντα ὑπὸ τοῦ ἁγίου Πάπα Βιγιλίου » (α) δοκεῖ παρέγγραπτος καὶ ἐξ ἄλλων τινῶν τεκμηρίων, περὶ ὧν αὐτίκα ἐροῦμεν, πρὸς δὲ καὶ ἐκ τῆς μὴ ὑπάρξεως τοιούτου τινὸς συνοδικοῦ ψηφίσματος (β). Καὶ δεδόσθω

(α) « Θεσπίζομεν τὸν Μακαριώτατον Ἀρχιεπίσκοπον τῆς πρώτης Ἰουστινιανῆς τῆς ἡμετέρας πατρίδος, ἔχειν ἀεὶ ὑφ' ἑαυτὸν τοὺς Ἐπισκόπους τῶν ἐπαρχιῶν Δακίας Μεδιτερρανέας καὶ Δακίας Ῥιπενσίας, Πραιβαλίας, Δαρδανίας, Μυσίας τῆς ἀνωτέρας καὶ Μακεδονίας τῆς δευτέρας. . . . *κατὰ τὰ ὁρισθέντα ὑπὸ τοῦ ἁγίου Πάπα Βιγιλίου* ».

(β) Ἓν ἐκ τῶν πολλῶν τεκμηρίων τῆς νοθείας ταύτης ἐστὶ τὸ ἀκόλουθον. Ὁ Βαλσαμὼν, ἐν τῇ ἑρμ. τοῦ δ'. τῆς Β', ἱστορῶν τὰ περὶ τῶν αὐτοκεφάλων ἐκκλησιῶν, περὶ μὲν τῶν ἄλλων λέγει ὅτι ἐτιμήθησαν συνοδικῇ διαγνώσει· περὶ δὲ τῆς ἐκκλησίας τῆς Βουλγαρίας (Βουλγαρίαν δὲ λέγων, ὡς ὑφόμεθα, ἐννοεῖ τὴν περιοχὴν τῆς Ἀρχιεπισκοπῆς Ἀχριδῶν), ὅτι ἐτιμήθη ὑπὸ τῆς Πολιτικῆς Ἀρχῆς, οὐδεμίαν μνείαν ποιούμενος τῆς

μὲν ὅτι ἀληθῶς ἀνηγορεύθη ἡ Ἐκκλησία αὕτη αὐτοκέ-

πράξεως τοῦ Βιγιλίου· « εἰ δὲ καὶ ἑτέρας ἐκκλησίας αὐτοκεφάλου εὑρήσεις, ὡς τὴν Βουλγαρίας, τὴν Κύπρου, τὴν Ἰβηρίας, μὴ θαυμάζῃς· τὸν μὲν γὰρ ἀρχιεπίσκοπον Βουλγαρίας *ἐτίμησεν ὁ βασιλεὺς Ἰουστινιανὸς* . . . τὸν ἀρχιεπίσκοπον Κύπρου ἐτίμησεν ἡ Γ'. Σύνοδος . . . τὸν δὲ Ἰβηρίας ἐτίμησε διάγνωσις τῆς ἐν Ἀντιοχείᾳ Συνόδου . . . τελοῦντα τὸ πρότερον ὑπὸ τὸν Πατριάρχην Ἀντιοχείας » (Σύντ. τῶν ἱερ. καν. τόμ. Β'. σελ. 171). Συνῳδὰ τούτῳ γράφουσι καὶ οἱ ἱστορικοὶ Γεώργιος Ἀκροπολίτης καὶ Νικηφόρος ὁ Γρηγορᾶς· « πλείοις τε γὰρ ἄλλοις αὐτὴν (τὴν Ἀρχιεπισκοπὴν Βουλγαρίας) ὁ Βασιλεὺς ἐκ παλαιοῦ *τετίμηκεν* Ἰουστινιανὸς, ἑαυτοῦ γεγονυῖαν πατρίδα, καὶ πρώτην ὠνόμασεν Ἰουστινιανήν· καὶ δὴ καὶ *αὐτονομεῖσθαι ταύτην εἰς τὸ διηνεκὲς προσετετάχει* » (ἐν τῷ περὶ Θεοδώρου Ἀγγέλου Κομνηνοῦ δεσπότου Θεσσαλίας)· καὶ, « ἣν ἀρχιεπισκοπὴν ὁ Βασιλεὺς *τετίμηκεν* Ἰουστινιανὸς » κτλ. (αὐτ.)· ἔνθα, ὡς ὁρᾷς, οὐδεὶς γίγνεται λόγος περὶ ἐκκλησιαστικῆς κυρώσεως. Ὅτι δὲ ἡ ἐκκλησία, οὐ μόνον οὐ συμμετέσχε τῆς τοῦ Ἰουστινιανοῦ πράξεως, ἀλλὰ καὶ πλαγίως πως ἐκάλεσεν αὐτὴν *ἀντικανονικὴν καὶ αὐθαίρετον*, γίγνεται δῆλον ἐκ τῆς *Συνοδικῆς* ἐγκυκλίου Καλλινίκου Κωνσταντινουπόλεως, ἐν ᾗ γέγραπται ταῦτα· « τοὺς δ' αὐτονόμους Ἀρχιεπισκόπους, οἵτινές εἰσιν ὁ Ἀχριδῶν, καὶ ὁ Κύπρου, καὶ οἱ τῆς Ἰβηρίας δύο τῆς κάτω καὶ τῆς ἄνω, καὶ ὁ τοῦ Πεκίου, κατὰ διαφόρους καιροὺς ΕΠ' ΑΔΕΙΑΙΣ ΤΙΣΙ ΦΙΛΟΤΙΜΗΣΑΝΤΑ, ΠΗ ΜΕΝ ΒΑΣΙΛΕΩΝ ΣΠΟΥΔΑΣΜΑΤΑ ΙΔΙΑΙΣ ΑΡΕΣΚΕΙΑΙΣ (αὐθαίρετα), πῇ δὲ καὶ Συνοδικαὶ διασκέψεις ἁπλῶς Ἀρχιεπισκόπους τοὺς τοιούτους ἐποίησαν καὶ ὠνόμασαν, καὶ τοῦτο μόνον ἔχουσιν ὄνομα ». (Σύντ. Χρυσ. Ἱεροσολ. σελ. 52). Τοιαῦται δὲ κιβδηλίαι οὐκ ὀλίγαι ἐπενοήθησαν πρὸς νομιμοποίησιν καὶ ἔξαρσιν τοῦ θρόνου τῆς πρώτης Ἰουστινιανῆς, ὡς, φέρ' εἰπεῖν, τὸ φερόμενον χρυσόβουλλον τοῦ εἰρημένου Αὐτοκράτορος δι' οὗ ὁ Ἀρχιεπίσκοπος αὐτῆς κατακοσμεῖται, δίκην ταὼ, πολλοῖς τοῖς ματαιότητος συμβόλοις, ὅπερ ἐστὶν ἀκριβὲς ἐκμαγεῖον καὶ ἀπομίμημα τοῦ πραγματικοῦ τύπου τοῦ Μ. Κωνσταντίνου, τοῦ δωροφορηθέντος δηθεν Σιλβέστρῳ τῷ Ἐπισκόπῳ Ῥώμης, ὡς δείξομεν ἐν τῷ ἑξῆς κεφαλαίῳ.

φαλος Συνοδικῷ ψηφίσματι· ἀλλ' ἐν τίνι ἐξουσίᾳ ὁ Βιγίλιος ἐτόλμησεν ἀναγορεῦσαι αὐτόνομον Ἐκκλησίαν ἀλλοτρίαν, μηδόλως δηλονότι ὑπαγομένην εἰς τὴν πνευματικὴν αὐτοῦ δικαιοδοσίαν, καθ' ἃ ἐν τῷ ά. κεφαλαίῳ τοῦ Α'. μέρους προαποδέδεικται; οὐ μόνον δ' ὁ Ῥώμης, ἀλλ' οὐδ' αὐτὸς ὁ Κωνσταντινουπόλεως εἶχεν ἐξουσίαν τοιαύτην. Κἂν λοιπὸν ὁ Ἰουστινιανὸς ὑποτεθείη αὐθαιρέτως τοῦτο πράξας, κἄν τε ὁ Πάπας Βιγίλιος, κἄν τε ὁ Πατριάρχης Κωνσαντινουπόλεως, οὐδὲν ἧττον τὸ αὐτοκέφαλον τῆς Ἀρχιεπισκοπῆς Ἀχριδῶν ἀποδεικνύεται ἀβάσιμον καὶ ἀσήρικτον, καὶ νομικῶς καὶ κανονικῶς· διότι πᾶς νόμος πολιτικὸς ἢ πρᾶξις Συνοδικὴ, ἀντιβαίνουσα τοῖς ἱεροῖς κανόσιν, ἐστὶν ἄκυρος καὶ ἀνίσχυρος, κατὰ τὰς ἀρχὰς τὰς καθιερωθείσας μὲν παρὰ τῆς Καθόλου Ἐκκλησίας, ἀποδεχθείσας δὲ παρὰ τῆς πολιτικῆς Ἀρχῆς ἐν τῇ Δ'. Οἰκουμενικῇ Συνόδῳ διὰ τῶν ἑκατέρωθεν ἀνακηρύξεων· « ὅλα τὰ πραγματικὰ ἀργήσει », « κατὰ τῶν κανόνων μηδὲν πραγματικὸν ἰσχύσει, οἱ κανόνες κρατείτωσαν »· καὶ « τὰ ἀρέσκοντα τῇ ἁγίᾳ Συνόδῳ εἰς τὸν ἅπαντα χρόνον βέβαια φυλαττέσθω »· καὶ ταύτας τὰς ἀρχὰς, ὡς εἴδομεν, παραυτίκα ἐφήρμοσαν ἥ τε πνευματικὴ καὶ ἡ κοσμικὴ ἐξουσία διὰ τῆς πανδήμου ἀκυρώσεως τοῦ Θεοδοσιανοῦ ψηφίσματος (α) καὶ τῆς Συνοδικῆς πράξεως δύο Πατριαρ-

